5719

ΤΟΥ

ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΥΧΑΪΤΩΝ

ΤΟΥ ΚΑΙ ΜΑΥΡΟΠΟΔΟΣ ΕΠΙΚΑΛΟΥΜΕΝΟΥ

# ΕΓΚΩΜΙΟΝ

ΕΙΣ ΤΟΥΣ

# ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ.

Ἐκδοθὲν

Σπουδῇ καὶ δαπάνῃ τῶν Μαθητῶν τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,

ΤΥΠΟΙΣ Ι. ΛΑΖΑΡΙΔΟΥ.

ΑΩΝΒ.

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΥΧΑΪΤΩΝ

*ΤΟΥ ΚΑΙ ΜΑΥΡΟΠΟΔΟΣ ΕΠΙΛΕΓΟΜΕΝΟΥ*

# ΕΓΚΩΜΙΟΝ

ΕΙΣ ΤΟΥΣ

# ΤΡΕΙΣ ΙΕΡΑΡΧΑΣ,

Ἐκδοθὲν

Σπουδῇ καὶ δαπάνῃ τῶν Μαθητῶν τῆς ἐν Χάλκῃ
Θεολογικῆς Σχολῆς τῆς τοῦ Χριστοῦ
Μεγάλης Ἐκκλησίας.

« Οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς
» τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν ».
Ματθ. ιή, 20.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,
ΤΥΠΟΙΣ Ι. ΛΑΖΑΡΙΔΟΥ.

ΑΩΝΒ'.

Πρᾶξις Τυπογραφείου
Ἀριθμ. 103

SISMANOGLIO MEGARO

ΤῊ ΙΕΡᾼ ΚΑΙ ΘΕΟΛΕΚΤῼ

**ΧΟΡΕΙΑ**

ΤΩΝ ΑΓΙΩΤΑΤΩΝ ΙΕΡΑΡΧΩΝ

ΤΗΣ ΚΑΘΟΛΙΚΗΣ ΚΑΙ ΟΡΘΟΔΟΞΟΥ

**ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ,**

ΤΟΙΣ ΚΑΘΙΔΡΥΤΑΙΣ ΚΑΙ ΣΥΝΤΗΡΗΤΑΙΣ

ΚΑΙ ΠΡΟΣΤΑΤΑΙΣ

*ΤΗΣ ΕΝ ΧΑΛΚῌ*

**ΙΕΡΑΣ ΘΕΟΛΟΓΙΚΗΣ ΣΧΟΛΗΣ**

ΩΣ ΠΝΕΥΜΑΤΙΚΟΙΣ ΤΡΟΦΕΥΣΙ

ΚΑΙ ΕΥΕΡΓΕΤΑΙΣ

Τὴν βίβλον ἀνέθεσαν

ΟΙ ΜΑΘΗΤΑΙ.

«Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό».

Ψαλμ. ρλγ', 1.

SISMANOGLIO MEGARO

# ΠΡΟΛΟΓΟΣ.

§ ά. ΙΩΑΝΝΗΣ Μοναχὸς ὁ Μαυρόπους, ὁ ὕϛερον καὶ Ἐπίσκοπος, ἢ καὶ ἄλλως Μητροπολίτης Εὐχαΐτων (α) ἀναδειχθείς, ἤκμασε μὲν περὶ τὰ μέσα τῆς ιά ἀπὸ Χριστοῦ ἑκατονταετηρίδος (ἤτοι 1050), ἐπὶ τῶν εὐσεβῶν Βασιλέων Νικηφόρυ τοῦ Βοτανιάτυ, καὶ Ἀλεξίου τοῦ Κομνηνοῦ, παρατείνας πιθανῶς τὸ ζῆν καὶ μέχρι τῆς ιβ' ἑκατονταετηρίδος ἀρχομένης· Κωνσταντινουπολίτην δὲ γενέσθαι οὐκ ἀπεικότως ἄν τις ἔκ τινων τεκμηρίων εἰκάσειεν. Εἴδ' οὖν, ἀλλ' ἐν Κωνσταντινουπόλει πάντως τὸ πλέον διανύσαι τοῦ βίου, ἀνὴρ ἐν ὁσιότητι βίου καὶ λόγων δυνάμει πολὺ τῶν κατ' αὐτὸν προφερέστατος· Θεολογίας μὲν γὰρ τῆς καθ' ἡμᾶς καὶ μεγαλωνύμου προῆκεν εἰς τὸ ἀκρότατον, ἐντριβής τε τῶν ἱερῶν Γραφῶν γενόμενος ἐν τοῖς μάλιστα, καὶ τοῖς τῶν θείων Πατέρων συγγράμμασιν εἰς βάθος ἐμμεμελετηκώς· Ῥητορικῆς δὲ καὶ τῆς ἄλλης ἐγκυκλίου παιδεύσεως οὐκ ἄκρῳ τῷ δακτύλῳ γευσάμενος φαίνεται. Καὶ μὲν δὴ καὶ ποιητικῆς ἕξεως ἥψατο λίαν ἐπιτυχῶς, μετά γε τὸν Θεολόγον Γρηγόριον τῶν χριστιανῶν Ποιητῶν οὐκ ἀστόχως κριθεὶς δοκιμώτατος (б). Φέρονται δὲ τούτου πονήματα ἐμ-

(α) Τὰ Εὐχάϊτα, ἢ καὶ ἄλλως Εὐχανία (κοινῶς Ἐρκλείμ) πόλις τῆς Γαλατίας, ἐπισκοπὴ μὲν οὖσα πρότερον ὑπὸ τὸν Μητροπολίτην Γαγγρῶν (Μελετ. Γεωγρ. Βιβλ. Β'. Τμ. ά. Κεφ. ιέ), τηνικαῦτα δὲ Μητρόπολις ἀναδειχθεῖσα διὰ τὸ προσωπικὸν ἴσως ἀξίωμα τοῦ Ἰωάννου.

(б) Harless. Brevior notitia litteraturae Graecae, σελ. 579, § 103.

μετρα, ἐπιγράμματα ἢ ἐπιγραφαὶ ἐν Ἰαμβείοις εἰς τὰς τῶν Ἁγίων καὶ τῶν Πατέρων τῆς Ἐκκλησίας εἰκόνας, καὶ ᾠδαὶ ποικίλας ἔχουσαι τὰς ὑποθέσεις (α)· διαπρέπει δ' οὐχ ἧττον καὶ ἐν τοῖς ἱεροῖς τῆς Ἐκκλησίας ὑμνῳδοῖς, πολλοῖς καὶ μελιρρύτοις ᾄσμασι τὴν ἐκκλησιαστικὴν καθωραΐσας χοροστασίαν· ὧν ἁπάντων προέχει μάλιστα ἡ εἰς τοὺς τρεῖς Μεγάλους Ἱεράρχας ᾀσματικὴ Ἀκολουθία, ἄριστά τε καὶ γλαφυρώτατα, καὶ ὡς οὐκ ἄν τις εὔξαιτο ἐμμελέστερον, ὑπὸ τούτου συνηρμολογημένη. Ἐν γοῦν τῷ τῆς ἡμέρας Ὑπομνήματι ταῦτα περὶ τῶν ἐν αὐτῇ τροπαρίων τε καὶ κανόνων ἐπ' ἐκκλησίας ἀναγινώσκομεν· « ἃ καὶ νεύσει αὐτῶν (τῶν Τριῶν » Ἱεραρχῶν), ὡς οἶμαι, γεγονότα, οὐδενὸς λείπονται τῶν » εἰς ἔπαινον, ὡς καὶ πάντων ὑπερκεῖσθαι, τῶν ὅσα τε ἐξ » ἐκείνου γεγόνασι καὶ ὅσα γενήσονται » (β).

§ β'. Ὅθεν μὲν οὖν καὶ ὅπως ἡ τῶν τριῶν Μεγάλων Διδασκάλων καὶ τῆς Οἰκουμένης Φωστήρων συγκεκρότηται καὶ καθέστηκεν ἑορτή, καὶ ὅσον εἰς τοῦτο ὁ Ἱερὸς τῶν Εὐχαΐτων συνετέλεσε Ποιμενάρχης, ἀναγνώτω ὁ βουλόμε-

(α) Ἐξεδόθησαν διὰ τοῦ τύπου μετὰ βραχέων ἐν τέλει σημειώσεων ὑπὸ Matth. Busti. ἐν Ἐτώνῃ, 1610 εἰς 4ον, (Harless. ἔνθ. ἀνωτέρω). Ἐν δὲ τῇ ὑπὸ τῶν σοφῶν ὁμογενῶν Α. Μουστοξύδου καὶ τοῦ μακαρίτου Δ. Σχινᾶ ἐκδεδομένῃ συλλογῇ τῶν ἑλληνικῶν ἀνεκδότων (Ἐνετίῃσι 1816 φυλ. Β'. σελ. 1—8), φέρονται ὑπὸ ἐπιγραφὴν « Τοῦ ἁγιωτάτου Μητροπολίτου τῶν Εὐχαΐτων κυροῦ Ἰωάννου τὰ ἐκ φύσεως γνωρισμὰ τοῦ ἀνθρώπου » μετὰ σημειώσεων (βλέπε Λογίου Ἑρμοῦ ἔτος 1817 φυλ. ς', σελ. 101).

(β) Ἐκτὸς δὲ τῆς τῶν τριῶν Ἱεραρχῶν Ἀκολουθίας τρισὶ κανόσιν ὑπ' αὐτοῦ πλουτισθείσης, ὧν ὁ δεύτερος φέρει ἀκροστιχίδα « Τρισσῶν φῶς τριῶν ἀνάψεν ἡλίους νῦν » συνέταξε καὶ ἄλλους κανόνας πολλούς· ἕνα μὲν Μοναχὸς ἔτι ὢν τὸν ἐν τοῖς ὡρολογίοις ἀναγινωσκόμενον εἰς τὸν Ἄγγελον τὸν φύλακα τῆς τοῦ ἀνθρώπου ζωῆς· δύο δὲ τῷ Σαββάτῳ τῆς πρώτης τῶν Νηστειῶν ἑβδομάδος, εἰς τὸν ἅγιον μάρτυρα Θεόδωρον τὸν Τύρωνα, ὧν ὁ πρῶτος φέρει ἀκροστιχίδα « Τύρων ὁ κλεινὸς δέξο πρώτῳ Σαββάτῳ », καὶ ἑτέραν ἐκ τῶν πρώτων ἑκάστης ᾠδῆς τροπαρίων « Ὁ Ἰωάννης ». Ἕνδεκα δὲ τοῦ αὐτοῦ κανόνας εἰς τὴν Θεοτόκον φέρει τὸ ὑπὸ τοῦ μακαρίτου Νικοδήμου ἐκδοθὲν Θεοτοκάριον, ὧν ὁ εἰς Ἰαμβικὸς πρὸς τὸ « Ἔσωσε λαόν ». Ὁ δὲ ἀοίδιμος ἐν διδασκάλοις

SISMANOGLIO MEGARO



νος ἐν τῷ εἰρημένῳ Ὑπομνήματι, εἴτουν Συναξαρίῳ, ἔνθα καὶ τὴν καλλίστην ἅμα καὶ ἐπισημοτάτην περὶ τῆς τοῦ ἀνδρὸς σοφίας καὶ ἀρετῆς μαρτυρίαν εὑρήσει· « Ὀπτάνονται » γὰρ (φησὶν) Ἰωάννῃ τῷ πάνυ, ἀνδρὶ τ' ἄλλα μὲν ἐλλο» γίμῳ καὶ παιδείας Ἑλληνικῆς οὐκ ἀμαθῶς ἔχοντι (ὡς » τὰ αὐτῷ πονηθέντα δείκνυσιν), ἀρετῆς δὲ εἰς ἄκρον » ἐληλακότι », κ. τ. λ. παρακατιὸν δὲ « καὶ θεῖος ἀνὴρ » προσμαρτυρεῖται, καί, « ἐπ' ἀρετῇ διαβόητος ». Ὅτι δὲ καὶ ἐγκώμια δύο γλαφυρώτατα εἰς τοὺς Τρισμάκαρας ἡμῶν Πατέρας τούτους ὁ Εὐχαΐτων συνέταξεν, ὑπεσεσημείωτο μέν που τῷ τῆς ὁσίας μνήμης Νικοδήμῳ τῷ Ἁγιορείτῃ (α), ἄγνωστα δ' ἦν ταῦτα τοῖς πολλοῖς, ὡς μήπω διὰ τοῦ τύπου ἐκδεδομένα· πλὴν ὅτι τοῦ μὲν ἡ ἀρχὴ ἦν· « Τρεῖς με πρὸς τριώνυμον παροτρύνουσι κίνησιν », τοῦ δὲ δευτέρου· « Πάλιν Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς ». Ἐκ δὲ τῆς μικρᾶς ταύτης σημειώσεως οὐ φαῦλος διηρέθιστο πόθος τοῖς εὐσεβέσι περὶ τῶν Ἐγκωμίων τούτων, προσδοκῶσιν εἰκότως θαυμαστόν τι ὄψεσθαι χρῆμα καὶ ἄξιον τῆς γραφίδος τῆς οὕτω λαμπρῶς τοὺς ἁγίους ἐξυμνησάσης ἐν τῇ ἱερᾷ ᾀσματουργίᾳ.

§ γ'. Τούτων τοίνυν τῶν τοῦ Εὐχαΐτων Ἐγκωμίων ἐνέκυρσεν ἡμῖν ἔναγχος ἀνευρεῖν θάτερον τὸ παρὰ Νικοδήμῳ μνημονευόμενον δεύτερον, ἀναγεγραμμένον ἐν παλαιῷ τινι χειρογράφῳ Κώδηκι μεμβραΐνῳ ἐκ τῶν ἀποσεσωσμένων

Βαρθολομαῖος ὁ Κουτλουμουσιανὸς ὀκτώ φησι κανόνας μελουργῆσαι τὸν Ἰωάννην εἰς Ἰωσὴφ τὸν Ὑμνογράφον (οὗ ἡ μνήμη τῇ γ' Ἀπριλ.), ὧν τὸν ἔσχατον ἀκροστιχίδα φέροντα τήνδε « Τὴν ὀγδόην δέησιν, ὦ μάκαρ, δέχου », ἀνέγνω ἐν χειρογράφῳ μηνολογίῳ ἐν τῇ κατὰ τὴν Νῆσον ταύτην σεβασμίᾳ Μονῇ τῆς ὑπεραγίας Θεοτόκου (βλέπε Μηναῖον Σεπτεμβρ. ἐκδ. Βαρθολ. Προλεγ. σελ. κ'). Τινὲς δὲ τῶν κανόνων τούτων ἐκδίδονται ὑπὸ Bayaei s. j. ἐν τῇ diss. praeliminari ad. Tom. II. actor. Sctorum junii (Harless. ἔνθ. ἀνωτ.).

(α) Συναξαριστ. Ἰανουαρ. λ. σημ. γ'.

ἐν τῇ κατὰ Χάλκην Ἱερᾷ καὶ Σεβασμίᾳ Πατριαρχικῇ Μονῇ τῆς Ἁγίας Τριάδος, ἐν ᾗ καὶ ἡ ἡμετέρα μήτηρ καὶ τροφός, ἡ Θεολογικὴ Σχολὴ τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας (α). Ὁ δὲ Κώδηξ περιέχει μὲν ἐκκλησιαστικὰ ὑπομνήματα, εἴτουν συναξάρια τῶν δύο μηνῶν, Δεκεμβρίου καὶ Ἰανουαρίου, ἐν οἷς καὶ ἐγκώμια ἁγίων, τὰ πολλὰ τέως ἀνέκδοτα· γεγράφθαι δὲ ἔοικε περὶ τὴν ιδ'. ἑκατονταετηρίδα.

§ δ'. Ἀντιγραψάμενοι τοίνυν τὸν λόγον ὡς οἷόν τε ἀκριβῶς, καὶ τὰς ἐνούσας αὐτῷ ἀρετάς, τήν τε τῶν νοημάτων εὕρεσιν, καὶ τὴν τῶν ὀνομάτων ἀκρίβειαν, καὶ τὴν ἐπανθοῦσαν χάριν τῆς περὶ τὴν σύνθεσιν ἐμμελείας παρ' ἑαυτοῖς ἱκανῶς θαυμάσαντες, δεινὸν ᾠήθημεν, εἰ, τοιοῦτος ὢν ὁ λόγος, ἄγνωστος ἐπὶ πολὺ ἔτι ἔσοιτο, καὶ ἀπρόϊτος τοῖς τῶν καλῶν ἐρασταῖς, ἀλλὰ μὴ διὰ τοῦ τύπου πολλαπλασιασθείς, πλείοσι μὲν τὸ οἰκεῖον ἐπιδείξοιτο κάλλος, πλείονας

(α) Τὰ χειρόγραφα ταῦτα συνήθροισεν ἐν τῇ Μονῇ Μητροφάνης Πατριάρχης Κωνσταντινουπόλεως ὁ Βυζάντιος, ὅλον αἰῶνα μετὰ τὴν Κωνσταντινουπόλεως ἅλωσιν· πλειόνων δέ ποτε ὄντων, ἠλάττωται νῦν τούτων ὁ ἀριθμὸς ἀκηδείᾳ μὲν καὶ τῶν ἔπειτα τῆς Μονῆς προηγησαμένων, πολὺ δὲ πλέον πικριναῖς τισι περιπετείαις, καὶ μάλιστα τῇ κατὰ τὸ 1821 συμβάσῃ πυρκαϊᾷ. Φέρουσι δ' ἔτι καὶ νῦν τὰ περιλειπόμενα τὴν ἰδιόχειρον αὐτοῦ ἐπιγραφὴν πρὸς ἄλλοις τισὶ καὶ ταῦτα ὑποσημαίνουσαν «Οἱ Πατέρες μέμνησθε τοῦ Μητροφάνους». Ὁ δ' αὐτὸς Καισαρείας ἔτι ὢν ἀνῳκοδόμησε τὸ δεύτερον τὴν Μονὴν καὶ Ἔσοπτρον αὐτὴν ἐπεκάλεσε. Πρῶτος γὰρ αὐτῆς δομήτωρ καὶ θεμελιωτὴς ἐξ ἀρχαίας παραδόσεως λέγεται ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Φώτιος ἐκεῖνος ὁ θεσπέσιος Πατριάρχης Κωνσταντινουπόλεως, ὑφ' οὗ καὶ Νέα Σιὼν ἐπωνόμαστο (βλέπε Κωνσταντινιάδ. σελ. 217. Πρβλ. Ἀκολουθίαν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν καὶ ἰσαποστόλου Φωτίου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ, ὑπὸ Κωνσταντίνου Μητροπολίτου Σταυρουπόλεως τοῦ Τυπάλδου. Κωνστ. 1848. προλεγ. σελ. ζ.). Ἐπὶ δὲ τῆς ἐσχάτης αὐτῆς ἀνοικοδομήσεως ἐστηλογράφησε διαιωνίσουσαν τὴν παράδοσιν ὁ σοφώτατος τῶν καθ' ἡμᾶς διδασκάλων Κωνσταντῖνος Οἰκονόμος ὁ ἐξ Οἰκονόμων, ποιήσας τὸ ἐπὶ τῆς μεγάλης θύρας ἀναγινωσκόμενον θαυμαστὸν ἐπίγραμμα, ὅπερ μεθ' ἑνὸς ἑτέρου ὑπὸ τοῦ αὐτοῦ πεποιημένου καὶ ἐπὶ τῆς βορείου πλευρᾶς ἀναγεγραμμένου, χαριζόμενοι τοῖς φιλομούσοις, καταχωρίζομεν ἀμέσως ἐνταῦθα μετὰ τὸν Πρόλογον ἀντὶ πάντων ἐπιγραμμάτων, ὧν εἰώθεσαν προτάττειν τοῖς βιβλίοις οἱ πρὸ ἡμῶν.

SISMANOGLIO MEGARO



δὲ εἰς δόξαν καὶ εὐφημίαν τῶν μεγάλων τῆς Οἰκουμένης Φωστήρων καὶ Διδασκάλων διαναστήσοι, ἢ καὶ πρὸς τὴν τῶν εὐφημουμένων κατὰ τὸ δυνατὸν μίμησιν ἐπισπάσοιτο. Καὶ τοίνυν ἀδείᾳ καὶ ἐπινεύσει τοῦ Σεβασμιωτάτου ἡμῖν Πατρὸς καὶ Σχολάρχου, κοινῇ μὲν γνώμῃ, κοινῇ δὲ συμπράξει καὶ χρηματικῇ συνδρομῇ, τὴν διὰ τοῦ τύπου ἔκδοσιν αὐτοῦ ἀνελάβομεν· τοῦτο μέν, ἡμέτερον μάλιστα καθῆκον ἡγησάμενοι τὴν περὶ τοὺς ἀειζώους ἐκείνους τῆς Ἐκκλησίας Πατέρας καὶ Ἀρχιδιδασκάλους ἐνδείξασθαι προθυμίαν, ὧν τοῖς θεοπνεύστοις συγγράμμασιν ἐντρεφόμεθα ὁσημέραι τὴν λογικὴν τροφὴν καὶ ἀδάπανον· τοῦτο δέ, καὶ πρὸς τοὺς Σεβασμιωτάτους τῆς καθ' ἡμᾶς Ἐκκλησίας Ποιμένας καὶ Ἱεράρχας τοὺς τῆς ἡμετέρας Σχολῆς καθιδρυτὰς καὶ συντηρητὰς καὶ κηδεμόνας εὐγνωμοσύνης χρέος ἀποτιννύντες, σμικρὸν τόδε καὶ λιτὸν ἀντὶ μεγάλων καὶ πλουσίων ὧν ἀπολαύομεν εὐεργετημάτων δωροφοροῦντες αὐτοῖς τὸ ἀντίδοτον, οἷον πρωτόλειον ἱερὸν τῶν εἰσέπειτα παρ' ἑκάστου σὺν Θεῷ τῇ Ἐκκλησίᾳ προσενεχθησομένων.

§ ε'. Ὅπως δὲ τὸ κείμενον τοῦ λόγου ἀκριβέστερον ὅσον ἔνεστι ἐκδοθῇ, ἔγνωμεν αὐτὸ καὶ πρὸς ἕτερα παραθέσθαι ἀντίγραφα. Καὶ δὴ γράψαντες μετηνεγκάμεθα ἀπὸ τοῦ ἁγιωνύμου ὄρους τοῦ Ἄθωνος ἀντίγραφον τοῦτε πρώτου τῶν Ἐγκωμίων, καὶ τοῦ δευτέρου τούτου, ἐκ τοῦ ἐν τῇ σεβασμίᾳ Μονῇ τοῦ Βατοπεδίου ἐναποκειμένου Κώδηκος (οὗ καὶ Νικόδημος μέμνηται), πιστῶς καὶ ἀπαραλλάκτως ἀντιγραφὲν σπουδῇ καὶ ἐπιμελείᾳ τοῦ ἐκεῖσε Πανοσιωτάτου καὶ ἐλλογιμωτάτου Ἱερομονάχου Κυρίου Παϊσίου τοῦ Βατοπεδινοῦ· πρὸς ὃ παραθέμενοι τὸ ἡμέτερον, καὶ τὰ παρ' ἑκατέροις τοῖς ἀντιγράφοις ὀρθότερον ἔχειν δόξαντα τῷ κειμένῳ ἐγκαταστρώσαντες, ὑπεσημειώσαμεν τὰς δια-

φορὰς χάριν τῶν φιλολόγων, τὰς μὲν τοῦ Βατοπεδινοῦ Κώδηκος ὑπὸ τὰ στοιχεῖα ΒΙΙ., τὰς δὲ τοῦ Χαλκινοῦ ὑπὸ τὸ Χ. ἔστι δ' οὗ καὶ οἴκοθεν τετολμήκαμεν ἐπανορθώσασθαι προφανεῖς τινας τῶν παρ' ἀμφοτέροις τοῖς ἀπογράφοις ἀντιγραφικῶν ἁμαρτάδων. Προσεσημειώσαμεν δὲ τάς τε παραπομπὰς τῶν ἐν τῷ κειμένῳ ἀναφερομένων τῆς Ἱερᾶς Γραφῆς ἐδαφίων, καί τινα ἐκ τῶν συγγραμμάτων τῶν θείων Πατέρων ἀποσπασμάτια, ὅσα γοῦν ἠδυνήθημεν ἐξευρεῖν, καὶ πρὸς ἃ ἔδοξεν ἡμῖν ὁ Ἱερὸς ἐγκωμιαστὴς ἀναφέρεσθαι.

§ ϛʹ. Οὐ συνεξεδώκαμεν δὲ καὶ τὸ πρῶτον τῶν Ἐγκωμίων· τὸ μὲν, ἵνα μὴ τοῦ βιβλιδαρίου τὸν ὄγκον προσεπαυξήσωμεν· τὸ δὲ, καὶ πολὺ τοῦ δευτέρου τὸν πρῶτον εὑρόντες ἀπολειπόμενον, οὔτε πρὸς κανόνα ἐγκωμίων ἠκριβωμένον, οὔτε τὴν ἑρμηνείαν ἔχοντα σώφρονα καὶ καθεστηκυῖαν καὶ ὁμαλὴν, ἀλλὰ καὶ λίαν παρένθυρσον καὶ ὑπορχηματικὴν καὶ διθυραμβώδη· ὥστε παρέχειν ὑπονοεῖν μὴ οὐ γνήσιον εἶναι τὸν λόγον τηλικούτου ῥήτορος, οἷος ὁ θεσπέσιος τῶν Εὐχαΐτων Ποιμὴν, ἄλλου δέ τινος ἀτέχνου καὶ ἀδεξίου Σχολαστικοῦ ἐπιδεικτιῶν ἀκαίρως σπουδάζοντος· βραχὺ δέ τι ἐξ αὐτῶν τῶν προοιμίων ἐνταῦθα παρατεθὲν δικαιώσει πάντως παρ' ἑκάστῳ τὴν τοιαύτην ὑπόνοιαν· ἄρχεται γὰρ ὧδε· « Τρεῖς με πρὸς τριώνυμον παροτρύνουσι κίνησιν· » καὶ οἱ τρεῖς ἀπλανεῖς καὶ ἡ κίνησις ἀπαρέγκλιτος· πρὸς » ἁπλῆν καὶ γὰρ κίνησιν ἀσύνθετον, ἀκινήτως κινοῦσαν » τὰ πάντα, καὶ ὁδηγοῦσι καὶ ἐπαλείφουσι. Καὶ τίνες οὗ» τοι; καὶ ποῖοι; ὁ Γρήγορος νοῦς, τὸ Βασίλειον τῶν δογ» μάτων ὕψος, καὶ τὸ Χαριτόβρυτον πλάτος θαλάσσης τῶν » θεοπνεύστων Γραφῶν· τούτων ὁ μὲν νοῦν εἰκονίζει διὰ » τὸ βάθος τῶν λέξεων, ὁ δὲ λόγον διὰ τὸ πλάτος τῆς » ἐξηγήσεως, ὁ δὲ πνεῦμα διὰ τὸ δόγμα τοῦ Πνεύματος· » οἱ τρεῖς τὰ τρία καὶ ζωγραφοῦσι καὶ εἰκονίζουσι· καὶ τὰ

SISMANOGLIO MEGARO



» τρία δοξάζονται ἐν τρισὶ καὶ ἀντιδοξάζουσι· μία τοίνυν » τῶν τριῶν πέλουσα παντοδύναμος δόξα καὶ ἀκατάλη» πτος, τοὺς τρεῖς ταύτης θεραπευτὰς συνδοξάζει καὶ » ἀνυψοῖ. . . . . . οὗτοι τοιγαροῦν γνώμων εἷς τῆς ἁγίας » Τριάδος ὑπάρχοντες, ἐν γλώσσαις τρισὶ τὸ ἁπλοῦν τῶν » τριῶν καὶ φυσικὸν κηρύττουσι θέλημα, τὸ γνωμικὸν ὁμο» γνωμόνως καὶ σύνθετον ἐκ τούτων ἀποδιώκοντες· καὶ » ϛάθμαι τυγχάνοντες πανευθύταται, τὴν ἀστάθμητον καὶ » ἴσην Τριάδα ἀσταθμήτως ἐν τρισὶ ϛαθμίζουσιν ἰδιώμασι, » τὸ καμπύλον ἐκ ταύτης μακρὰν ἀποσκορακίζοντες καὶ » ἄνισον· γλῶσσαι πυρίπνοοι τρεῖς, τὸ ὁμόπνουν τοῦ ἀσβέ» κτου πυρὸς κηρύττουσι μέλος, πυροειδῶς πρότερον ἐξ » αὐτοῦ στομωθεῖσαι καὶ τὸ τριλαμπὲς καὶ τρίαιγλον ἐκ» μολπάζουσαι κράτος »· καὶ οὕτως ἐφεξῆς μέχρι τέλους τῇ αὐτῇ ῥύμῃ ἀεὶ βαίνων ἐπὶ τὸ προσκορέστερον· ὥστε εἰκότως ἄν τις, πρὸς τὸ δεύτερον Ἐγκώμιον ἀντιπαρεξετάζων, νοθείας γράψαιτο, πλὴν εἰμή τις ἐκεῖνο φαίη, ὡς οὐκ ἐγκώμιον συνείρειν ὁ θαυμαστὸς Ἰωάννης προὐτίθετο, ἀλλ' ὕλην συναθροῖσαι παντοδαπὴν πρὸς τὸ ὕμνους ἐξ αὐτῆς καὶ κανόνας ἐξυφᾶναι τοῖς μακαρίοις Πατράσιν. Ὅτι δὲ τῆς τῶν τριῶν ἐνταυτῷ εὐφημίας ἐμέλησε τῷ θείῳ τούτῳ ἀνδρὶ πρὸ τοῦ τὸ δεύτερον εἰς αὐτοὺς, τοῦτο δὴ τὸ ἀνὰ χεῖρας, συντάξαι Ἐγκώμιον, ὑπεμφαίνεταί πως ἐν οἷς πρὸς τῷ τέλει τοῦ αὐτοῦ λόγου ἐπιφωνῶν τοῖς Πατράσι φησί· « Τριὰς ἁγίων ἁγία, μεγαλώνυμοί τε καὶ μεγαλόδοξοι, οἱ καὶ ἡμῖν τὴν καλλίστην ταύτην ἐπίνοιαν, ὡς κατὰ γνώμην ὑμῖν ἐπὶ νοῦν τε πρότερον ἀγαγόντες, καὶ θαυμασταῖς ἐμφανείαις βεβαιώσαντες ὕστερον » (α).

§ ζʹ. Ὅπως μὲν οὖν ἔχει τὰ περὶ τούτου, κρινόντων οἱ

(α) Ὅρα ἐν τῷ κειμένῳ § ιϛʹ.

περὶ ταῦτα δεινοί· ποῦ δὲ καὶ πότε συντέτακταί τε ὁ λόγος καὶ ἐκπεφώνηται, οὐ πάνυ ῥᾴδιον ἀποφήνασθαι· εἰκασίᾳ δ' ἄν τις χρώμενος, περὶ μὲν τοῦ πρώτου ἐν Κωνσταντινουπόλει μάλιστα ἐκπεφωνῆσθαι οὐκ ἀλόγως ὑποτοπάσειεν· ἥ τε γὰρ ἔρις, ἡ περὶ τῶν τριῶν ἁγίων Ἱεραρχῶν καὶ τῆς ἑτέρου ὑπὲρ τὸν ἕτερον ὑπεροχῆς τε καὶ προτιμήσεως ἐν Κωσταντινουπόλει καὶ τοῖς κατ' αὐτὴν ἐλλογίμοις ἀνδράσι μνημονεύεται γεγονυῖα, καὶ αὐτὸς Μαυρόπους ὑποδηλοῖ ὑπερευχόμενος τοῦ ἀκροατηρίου, ἐν οἷς φησί, «μέ» μνησθε δέ μοι καὶ αὐτοὶ τοῦ Ποιμνίου, ὃ τοῖς ὑμετέροις » λόγοις καὶ πόνοις καὶ πειρασμοῖς κατηρτίσασθε, ἐξ ἀφα» νοῦς καὶ φαύλης ἀγέλης ὀνομαστὸν καὶ περίβλεπτον, ὡς » ἡ προαγόρευσις ἡμῶν, ἀποδείξαντες (α) »· ὁ περὶ τῶν Κωνσταντινουπολιτῶν μάλιστα ὁ μέγας Γρηγόριος προηγόρευσεν ἐν τῷ Συντακτηρίῳ (β). Περὶ δὲ τοῦ δευτέρου, αὐτὸ δηλοῖ τὸ τοῦ λόγου προοίμιον, ὅτι κατ' αὐτὴν ἐκπεφώνηται τὴν ἑορτὴν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου (τῇ κζ' Ἰανουαρίου), μιᾶς μεταξὺ μεσολαβούσης ἡμέρας ἀπὸ τῆς μνήμης Γρηγορίου τοῦ Θεολόγου (γ), μήπω μὲν τῆς τῶν τριῶν Ἱεραρχῶν ἑορτῆς ἐκκλησιαστικῶς καταστάσης (οὐδὲ γὰρ οὐδὲ μέμνηται αὐτῆς ὅλως οὐδαμοῦ τοῦ λόγου οὔτε ἀρχόμενος οὔτε λήγων), προπαρασκευαζομένης δὲ ἴσως καὶ προσδοκωμένης πως οὐκ εἰς μακρὰν συσταθήσεσθαι, μᾶλλον δὲ ἄρτι καθισταμένης τε πρῶτον καὶ τῷ λαῷ διαγγελλομένης· ὅπερ ἐννοεῖν δίδωσιν ἡ φράσις ἥδε· «Τούτοις ἡμεῖς πανηγυρίζομεν σήμερον, καὶ μέν τοι πανηγυρίσομεν »· καὶ δοκεῖ ἄρα εἶναι ὁ λόγος ἐκεῖνος αὐτὸς ὁ τῆς ἑορτῆς συ-

(α) Ὅρα ἐν τῷ κειμένῳ § ιϛ'. — (β) Συντακτήρ. § ϛ'.
(γ) Ὅρα ἐν τῷ κειμένῳ § α'.

SISMANOGLIO MEGARO



στατήριος, μεθ' ὃν τε καὶ ἡ ἡμέρα τέτακται ἡ τριακοστὴ τοῦ μηνὸς (ὡς ἂν κἀνταῦθα τὸ Τριαδικὸν διασώζοιτο), καὶ ἡ ᾀσματικὴ ἐξεδόθη Ἀκολουθία, καὶ ἡ ἑορτὴ ἐξ ἔτους εἰς ἔτος πανηγυρίζεσθαι παραδέδοται· ἐγένετο δὲ ταῦτα ἐπὶ τοῦ Μεγάλου Ἀλεξίου τοῦ Κομνηνοῦ βασιλεύοντος (περίπου τὸ 1000).

§ η'. Τοσαῦτα μὲν περί τε τοῦ ἀνὰ χεῖρας λόγου, καὶ τοῦ ἱεροῦ τούτου Συγγραφέως, ὃς ἀξιάγαστον καὶ θεοφιλῆ ζῆλον ὑπὲρ τῆς δόξης τῶν τριῶν Μεγάλων Πατέρων ἀναζωσάμενος, συνῆψε μὲν ἐν οἷς πρὸς εὐφημίαν αὐτῶν καταλέλοιπεν ἐγκωμίοις καὶ ἱεροῖς ᾄσμασι τὸ ἑαυτοῦ ὄνομα τοῖς ἐκείνων, συνεξακουόμενος αὐτοῖς ἐν ταῖς ἁπανταχοῦ τῆς οἰκουμένης τῶν εὐσεβῶν ὑπὲρ ἐκείνων συνάξεσιν· εὐφημεῖται δὲ παρὰ πάντων, καὶ ἐν τοῖς ὁσίοις ἡμῶν Πατράσιν ἀναγράφεται (α), καὶ Τέττιξ γλυκύφωνος (β), καὶ μελίφωνος καὶ θελκτήριος Σειρὴν τοῦ ἁγίου Πνεύματος (γ) ὑπὸ σοφῶν καὶ ὁσίων ἀνδρῶν ἀνωμολόγηται. Οὕτω δαψιλῶς αὐτὸν οἱ θεσπέσιοι Ἱεράρχαι ἐκ τοῦ τῆς οἰκείας δόξης ἐδόξασαν περισσεύματος.

§ θ'. Ἀλλ' ὦ μεγάλα τῆς εὐσεβείας ὀνόματα, Βασίλειε, Γρηγόριε καὶ Ἰωάννη Χρυσόστομε, μὴ παύοισθε ἐπισκοποῦντες ἡμᾶς ἄνωθεν, καὶ εὐλογοῦντες καὶ ἁγιάζοντες· ἀλλὰ ταῖς εὐχαῖς ὑμῶν ἐκδυσωποῦντες τὸν τοῦ παντὸς Βασιλέα καὶ Πρύτανιν, σώζοιτε τὸν λαὸν ὑμῶν, σώζοιτε τὴν Ἐκκλησίαν, περιφρουροῖτε δὲ τῇ κραταιᾷ ὑμῶν προστασίᾳ καὶ τὴν θεοπαγῆ ταύτην Θεολογικὴν Σχολήν, ἐνισχύοντες ἅμα καὶ φωτίζοντες τοὺς ἀεὶ διδάσκοντας ἐν

(α) Οὕτως ἐν τῷ Τριῳδίῳ τῷ Σαββάτῳ τῆς α' ἑβδομάδος ὁ κανὼν ἐπιγράφεται « Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου Μητροπ. Εὐχαΐτων. — (β) Κωνσταντινιάδ. σελ. 156. — (γ) Νικοδήμου Ἁγιορείτου Θεοτοκαρ. προοίμ.

αὐτῇ καὶ διδασκομένους· ἡμᾶς δὲ τοὺς τὴν μικρὰν ταύτην λειτουργίαν ὑμῖν ἀφωσιωμένους τῷ συνδέσμῳ τῆς ἀγάπης συνδέοιτε, ἵνα ἐν πνεύματι ἑνώσεως καὶ ὁμονοίας τὸ τῆς εἰρήνης λειτουργήσωμεν Εὐαγγέλιον, συνῳδὰ ταῖς ὑμῶν ὑφηγήσεσιν, εἰς δόξαν τῆς ἐν Πατρὶ, Υἱῷ καὶ ἁγίῳ Πνεύματι προσκυνουμένης Ἑνιαίας καὶ Τρισηλίου ΘΕΟΤΗΤΟΣ.

*Ἐν Χάλκῃ, τῇ Ι'. Μαρτίου, ͵αωνϐ'.*

Οἱ Μαθηταὶ

Τῆς Ἱερᾶς Θεολογικῆς Σχολῆς

τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

SISMANOGLIO MEGARO

# ΕΠΙΓΡΑΜΜΑΤΑ

ΕΙΣ ΤΗΝ

ἐν Χάλκῃ Ἱερὰν καὶ Σεβασμίαν Μονὴν

τῆς Ἁγίας Τριάδος.

## Α'.

### Τὸ ἐπὶ τῆς Μεγάλης Πύλης.

Χαῖρέ μοι ἀνθεμόεσσα Προποντίδος ἄφθιτε κούρη,
  Χαλκῖτις Νῆσος, πᾶσιν ἀειδομένη.
Ἣ καλὴν στεφάνην περὶ κρήδεμν' ἐστεφάνωσαι,
  Τὴν δὲ Μονὴν Ἱερὰν τῆς Μεγάλης Τριάδος.
Φώτιος ἦν πρῶτος, Πατριάρχης κεῖνος ὁ θεῖος,
  Δείματο καί ἑ Νέην ἐξονόμηνε Σιών.
Ὡς δὲ μόγησε χρόνῳ, Πατριάρχης καίνισεν ἄλλος,
  Καί μιν Ἔσοπτρον ἐὺς κλῆισε Μητροφάνης.
Νῦν δ' αὐτὴν τὸ τρίτον Πατριάρχης κύδιμος αὖτις
  Τῆς Τριάδος λάτρις Γερμανὸς ἱδρύσατο.
Ἀμφὶ δὲ δώματ' ἔτευξεν ἀνάκτορα ἔμμεναι ἐσθλὰ
  Τῆς θείης σοφίης πᾶσι διδασκομένης.
Ἄμβαιν' ἠιθέων σεμνὸς χορὸς, ἠρέμα ταρσῷ
  Τὸν δ' ἀκμῆτι βιβὰς ἱμερόεντα λόφον·
Κ' ἦν δὲ μέτωπ' ἰδίῃ, γέρας ἕξεις· οἶσθα γὰρ ὅττι
  Τῆς ἀρετῆς ἱδρῶ πρόσθεν ἔθηκε Θεός.

## Β´.

### Τὸ ἐπὶ τῆς Βορείου Πλευρᾶς.

—=—

Ἴομεν ἐς Χάλκης Νήσου Βυζαντίδος ἄκρην,
  Κεῖνον ὑπερτέλλοντ' οἶκον ἐποψόμενοι.
Μέσσος ὅδε Τριάδος θεῖος Νεώς· ἀμφὶ δὲ πολλὰ
  Δώματα τῆς ἀρετῆς καὶ σοφίης θάλαμοι.
Οἵην ἀγλαΐην στίλβει δόμος! ὡς δέ οἱ ὕψος
  Ἵεται ἑπταπόρων ἐγγύθι πληϊάδων.
Πάντῃ μὲν θυρίδεσσι κεκασμένος ἐκπεπέτασται
  Ζειδώροις αὔραις εὐαέων ἀνέμων.
Πάντῃ δ' ἓ προτιδέρκεται Ἥλιος· οὐδ' ὑπὸ γαῖαν
  Γηθόσυνος τρέπεται, θαῦμα τοιόνδε λιπών.
Τουτεὶ Πηγασίδος κασιγνήτη καλλιρέεθρος
  Ἀμβλύζει κρήνη νάματα νεκτάρεα.
Κεῖθι τέθηλε νάπη· ψαίρει πίτυς ἀμφ' ἐλάτῃσι,
  Γαία δὲ παντοίοις ἄνθεσιν ἀμφιγελᾷ.
Τῆλε δ' ἀποθρώσκει κώμης καπνός· ἡ δ' ἐπίκειται
  Ἄλλη θεῖα Μονή, τῆς σοφίης τέμενος.
Ἄλλῃ δ' ἄλλος ἀνήρ· ποιμὴν ὅδε· τοὺς δ' ἐν ἀρούραις
  Ἀθρεῖς· ὃς δὲ λίνοις Πόντον ἐπ' ἰχθυάᾳ·
Αὐγάζου τὸν Ὄλυμπον, ἰδ' ἀγλαὰ ἔργα Βιθυνῶν,
  Καὶ Θρῄκης ἑτέρωσ' οὔρεα καὶ πεδία.
Δένδρα, δόμους, νήσους, ἅλα, ναῦς, Πόλιν εὐρυάνασσαν,
  Δέρκεό Εὐρώπην, δέρκεο τὴν Ἀσίην.

---

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ

ΙΩΑΝΝΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΥΧΑΪΤΩΝ

# ΕΓΚΩΜΙΟΝ

ΕΙΣ ΤΟΥΣ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑΣ ΗΜΩΝ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥΣ ΜΕΓΑΛΟΥΣ ΔΙΔΑΣΚΑΛΟΥΣ ΚΑΙ ΙΕΡΑΡΧΑΣ,

*ΒΑΣΙΛΕΙΟΝ ΤΟΝ ΜΕΓΑΝ, ΓΡΗΓΟΡΙΟΝ ΤΟΝ ΘΕΟΛΟΓΟΝ, ΚΑΙ ΙΩΑΝΝΗΝ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ.*

§ α´. Πάλιν Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς, καὶ πάλιν ἡμῖν ἐπιφανὴς ἑορτή· τρίτος μέν τοι μὴν οὗτος, ἐξ οὗ τῷ Μεγάλῳ λαμπρῶς ἐπανηγυρίσαμεν (α). Ὡς δὲ δυσχεραίνοι τάχα μηδέν, πορρωτέρω τεταγμένος τῶν ὁμοτίμων, ἄγχιστά που κἀκείνους αὐτῷ συνηγάγομεν· τίνας φημί; τοὺς τῆς οἰκουμένης λαμπτῆρας, τοὺς δύο, τοὺς πάνυ, τούς, οὐδ' ἔχω πῶς ὀνομάσω, Βασίλειον καὶ Γρηγόριον, τὰ σεπτὰ καὶ Ἀγγέλοις καὶ ἀνθρώποις ὀνόματα. Τούτων γὰρ ἑκατέρῳ, τῷ μὲν ἑωρτάζομεν [β] χθές, τὸ δὲ μικρὸν

(α) Ἡ μνήμη τοῦ θείου πατρὸς Χρυσοστόμου ἑορτάζεται ὑπὸ τῆς Ἐκκλησίας τῇ γ´ Νοεμβρίου, μετατεθεῖσα ἀπὸ τῆς ιδ´ Σεπτεμβρίου διὰ τὴν σύμπτωσιν τῆς ἑορτῆς τῆς ὑψώσεως τοῦ Τιμίου Σταυροῦ· ἡ δὲ ἀνακομιδὴ τῶν λειψάνων αὐτοῦ ἑορτάζεται τῇ 27 Ἰανουαρίου, τρίτον μῆνα μετὰ τὴν πρώτην ἑορτήν, ὅτε καὶ ὁ λόγος οὗτος ἐξεφωνήθη (ὅρα ἔμπροσθεν προλεγόμ. § ζ´.).

[β] Οὕτως ἐκ τοῦ ΒΠ. τὸ δὲ Χ «ἑορτάσαμεν». — «χθὲς» δὲ φησί, δέον εἰπεῖν «προχθές,» (τῇ γὰρ κε´ Ἰανουαρίου ἡ τοῦ θείου Γρηγορίου τελεῖται μνήμη), ὡς κατ' αὐτὴν ἴσως τὴν νύκτα τῆς κς´ πρὸς τὴν κζ´ ἐκφωνουμένου τοῦ λόγου, μήπω τῆς τρίτης ἐπιλαμψάσης ἡμέρας.

πρὸ τῆς χθές (α). Αὖθις οὖν ἡμῖν ἐπεισῆλθεν ὁ καὶ φωνὴν καὶ πάντα χρυσοῦς, καὶ τὸ πρᾶγμα χορεία τις ἡδίστη δοκεῖ πρὸς ἑαυτὴν εὐρύθμως ἑλιττομένη, καὶ θαυμαστόν τινα κύκλον ἀποτελοῦσα, ἐκεῖ καλῶς λήγοντα, ὅθεν καὶ ἤρξατο· πλὴν ὅσον οὐ δευτέρας ἡ σήμερον περιόδου κατάρχει, ὅτι μηδ᾽ ἔχει τοὺς συγχορευτὰς ἑξῆς ἑπομένους· ἀλλ᾽ ἐνταῦθα δεῖ στῆναι τὸν πόθον τοῖς φιλεόρτοις, καὶ πάλιν ἀναμένειν ταύτην τὴν ἀρχὴν εἰς τὰ ἐπερχόμενα, ἥνπερ δὴ καταλείπουσι νυνὶ τελετήν. Ὁ γὰρ αὐτὸς ἀνὴρ οὗτος, ἢ Ἄγγελος [β] μᾶλλον τὸ δικαιότερον, τὴν παροῦσαν πανήγυριν κάλλιστα φαιδρύνει διὰ τῆς μνήμης, καὶ τῆς προσδοκωμένης ἐντεῦθεν ὑπόθεσις ἀπαντήσεται [γ]. Τί ποτ᾽ οὖν τοῦτο πέπονθας [δ], ἄνθρωπε τοῦ Θεοῦ; (ἐρωτήσω γάρ σε τολμήσας, ὥσπερ παρόντα·) ὁ τοῦ δικαίου κανών, ἡ τῆς ἰσότητος στάθμη, ὁ τῆς πλεονεξίας μέγας ἀντίπαλος [ε], ὃς οὔτ᾽ αὐτὸς δύο χιτῶνας ἠνέσχου τὴν ἀρχὴν κτήσασθαι, πολὺ μὲν οὖν εἰ καὶ ἕνα, καὶ ἡμᾶς τοῖς οὐκ ἔχουσι συμμερίζεσθαι [ζ] πείθεις· πῶς οὖν ἐνταῦθα σὺ μόνος, ἑτερορρεπής τε καὶ ἄνισος, διττὰς μὲν δι᾽ ἔτους σεαυτῷ τὰς μεγίστας τελετὰς καὶ τιμάς, τοῖς δὲ ὁμοτίμοις τούτοις καὶ ὁμοδόξοις ἀνὰ μίαν ἑκατέρῳ ταύτην [η] τελεῖσθαι καταδεχόμενος; οὐ μὴν ὡς εἰκὸς εἰς

(α) Ἡ τοῦ Μεγάλου Βασιλείου μνήμη τῇ α΄. Ἰανουαρίου ἅμα τῇ τῆς ἁγίας περιτομῆς ἑορτάζεται· Γρηγόριος δὲ ὁ Νύσσης οὕτω τὰς ἀπὸ τῆς Χριστοῦ Γεννήσεως εἰς τὴν τοῦ ἁγίου Βασιλείου μνήμην ἡμέρας, κατὰ τὸ τότε ἡμερολόγιον, ἀναγράφει· « Καλὴν ἐπέθηκεν ὁ Θεὸς τὴν τάξιν ταῖς ἐτησίαις ταύταις ἡμῶν ἑορταῖς, ἃς διά » τινος τεταγμένης ἀκολουθίας, κατὰ τὰς ἡμέρας ταύτας ἤδη τε ἠγάγομεν, καὶ πά» λιν ἄγομεν. . . . Ἀλλὰ τὴν πρώτην (τὴν τῶν Χριστουγέννων) οὐ συναριθμῶ ταῖς » ἄλλαις. . . . οὐκοῦν τὰς μετ᾽ αὐτὴν ἀριθμήσωμεν. Πρῶτον ἡμῖν Ἀπόστολοι· εἰ» σὶ δὲ οὗτοι· Στέφανος, Πέτρος, Ἰάκωβος, Ἰωάννης, Παῦλος· Εἶτα μετὰ τούτους » φυλάξας τὴν ἑαυτοῦ τάξιν ἐξάρχει τῆς παρούσης ἡμῶν πανηγύρεως, ὁ ποιμὴν » καὶ διδάσκαλος (ὁ Μέγας Βασίλειος)» (Ἐπιτάφ. εἰς τὸν Μεγ. Βασίλ. § α΄.). Ἀλλ᾽ ἔοικεν οὐ πάσας καταλέξασθαι τὰς ἡμέρας ὁ τῶν Νυσσαέων φωστήρ, μόνας δὲ τὰς ἑορταζομένας· ἄλλως γὰρ συμπεσεῖται ἡ τοῦ ἁγίου Βασιλείου μνήμη τῇ λα΄ Δεκεμβρίου.

[β] ΒΠ. « ὁ Ἄγγελος ». — [γ] ΒΠ. « Τὴν παροῦσάν τε κάλλιστα φαιδρύνει » διὰ τῆς μνήμης καὶ τῆς προσδοκωμένης ὑπόθεσις ἀπαντήσεται ». — [δ] Τὸ « τοῦτο » οὐκ ἔνεστι τῷ Χ. — [ε] Προσετέθη τὸ « μέγας » ἐκ τοῦ ΒΠ. — [ζ] ΒΠ. « χαρίζεσθαι ». — [η] ΒΠ. « τοσαύτην ».

SISMANOGLIO MEGARO



τὸ ἑξῆς καταδέξεται [α], ἵνα ὑπὲρ αὐτοῦ καὶ ἀπολογήσωμαι, κἂν εἰς δεῦρο συνεχώρει τοῖς περὶ αὐτὸν θερμοτέροις ὡς ἐξαίρετόν τινα ταύτην ἀπονέμειν μοῖραν αὐτῷ· οὐδ᾽ ἀνέξεται πάντως τὸ γοῦν ἐφ᾽ ἡμῖν τε καὶ παρ᾽ ἡμῶν πλέον αὐτός τι μόνος καρπούμενος, μειονεκτούντων ἐκείνων, οἳ ὑπὲρ εὐσεβείας τὰ ἴσα συνέπνευσε καὶ συνήθλησαν· ἀλλὰ προτιμήσει κἀνταῦθα τὸ κοινὸν τοῦ ἰδίου, ὡς αὐτῷ σύνηθες, καὶ οὐ ζητήσει μόνον τὸ ἑαυτοῦ, ἀλλὰ καὶ τὸ τῶν ἑτέρων, εἴτουν ἑταίρων καὶ συνάθλων αὐτῷ, μεθ᾽ ἡδονῆς παραλείψεται. Ἐγὼ τῆς τοῦ μεγάλου ψυχῆς τε [β] καὶ γνώμης ἀξιόχρεως ἐγγυητής· εἰδ᾽ οὖν, ἀλλὰ συλλάβεσθέ μοι καὶ ἡμεῖς τῆς σπουδῆς οἱ τῶν τριῶν μαθηταί, καὶ τὴν αὐτοῦ θαρροῦντες ἐγγύησιν ὑπὲρ τῶν δύο συνεγγυήσασθε. Μία μὲν δόξα τοῖς τρισίν, ἡ Τριάς· εἷς δὲ σκοπός, ἡ ἀρετή· εἷς δὲ ἀγών, κλονουμένην στηρίξαι καὶ κατασφαλίσασθαι τὴν εὐσέβειαν· ἓν δ᾽ ἔργον ἄληκτον, ψυχῶν σωτηρία, ἔργοις πᾶσι καὶ λόγοις καὶ τρόποις σπουδαζομένη. Ἐπίσης οἱ τρεῖς ἐπὶ γῆς Θεὸν ἐμεγάλυναν· ἐπίσης τὸν λόγον τῆς ἀληθείας ἐκράτυναν· ἐπίσης τῷ λόγῳ τὰς συνάξεις, τὰς ἐκκλησίας, τὰς τῶν μαρτύρων μνήμας ἐκόσμησαν· εἴπω τι δυσωπητικώτερον; ἐπίσης ἡμεῖς ὑπὸ τῶν τριῶν εὖ πεπόνθαμεν· ἐπίσης τοιγαροῦν καὶ τοὺς εὐεργέτας ἀντιτιμήσωμεν. Οὗτος ὁ τοῦ λόγου σκοπός· τοῦτο τῆς προθυμίας ἡμῶν τὸ μυστήριον· αὕτη τῆς παρούσης διαλέξεως ἡ ὑπόθεσις. Ἐπεὶ οὖν οὕτω ταῦτα, καὶ κατὰ γνώμην ἡμῖν ἀπαντᾷ τὸ ἡμέτερον· αἰσθάνομαι γὰρ συμπροθυμουμένων ὑμῶν καὶ τῇ συμβουλῇ τῇ δικαίᾳ συντιθεμένων· φέρε τὴν θαυμαστώσασαν ἐκείνους χάριν τοῦ Πνεύματος ἐπικαλεσάμενοι, πειραθῶμεν αὐτοὺς δεξιώσασθαι τοῖς καταλλήλοις ξενίοις, καὶ οἷς μάλιστ᾽ ἂν ὡς οἰκείοις ἥσθειεν οἱ μεγαλόφρονες. Τί δ᾽ ἂν γένοιτο τοῦ λόγου τοῖς σοφοῖς οἰκειότερον; τί τοῖς λόγον πρεσβεύσασι καὶ δοξάσασι λόγους τῆς ἐκ τῶν λόγων τιμῆς πρεπωδέστερον, ἢ προσφιλέστερον; Λόγος οὖν ἔστω δῶρον τοῖς τιμιωτάτοις πρὸς λόγον,

[α] Τὸ Χ. « καταδέξεται ». — [β] Προσετέθη τὸ « τε » ἐκ τοῦ ΒΠ.

οἱ μηδενὶ κατὰ τοῦτο πλέον ἔχειν ἑαυτῶν παρεχώρησαν, ὅτι μὴ μόνῳ τῷ λόγῳ καὶ ταῖς περὶ αὐτὸν λογικαῖς καὶ νοεραῖς φύσεσιν. Ἀλλ' ἡ μὲν πρόθεσις τοιαύτη, θαυμαστὴ καὶ γενναία· ἡ δ' ὑπόθεσις οὕτω κατὰ τὸν εἰπόντα μεγάλη, καὶ παντάπασι κρείττων ἢ καθ' ἡμᾶς (α)· ὅπου γὰρ ἀξίως οὐκ ἔνεστιν οὐδὲ τὸν ἕνα θαυμάσαι, ( πῶς γάρ; οὗ οὐκ ἦν ἄξιος ὁ κόσμος·) (β) ποικίλη τις ἂν ἁρμόσειεν ἅμα τοῖς τρισὶν εὐφημία παρὰ τῶν ἐν τῷ κόσμῳ προσφερομένη τοῖς ὑπερκοσμίοις καὶ οὐρανίοις· ὥστε νῦν οὐκ οἶδ' ὅπως κινδυνεύω νοῦν ἐνεγκεῖν, συνίημι γὰρ κατ' ἐμαυτοῦ σοφισάμενος, ὁπόταν διὰ τῆς τριῶν τούτων τῶν μεγίστων ἑνώσεως ἔμαθον σαφῶς ἐμαυτῷ παρασκευάσας τὸν ἀγῶνα βαρύτερον. Οὕτω τοίνυν ἐνταῦθα τοῦ σκοποῦ μοι περιτραπέντος, τίς ἤδη γένωμαι, καὶ ποῖ ποτε τράπωμαι; ἡ μὲν ἔφεσις τὴν ἐλπίδα προτείνει καὶ κατεπείγει πρὸς τὸ ἐγχείρημα, ὁ δὲ φόβος συστέλλει καὶ ἀποτρέπει τὴν ἐπιχείρησιν· ἀλλ' ὑμεῖς οἱ τοῦ σκοποῦ κοινωνοὶ βοηθήσατε κινδυνεύοντι πόθῳ, καὶ παράσχετε θάρσος ὀκνοῦντι καὶ μετοκλάζοντι· παρέξετε δὲ φιλοπονώτερον ἀκροώμενοι· τάχα γὰρ ἄν τι λέγειν ὑμῖν αὐτοῖς δόξαιμεν, εἰ προσεκτικώτερον ἔχοντες ὁρῶμεν ὑμᾶς, μᾶλλον δέ, βαβαὶ τῆς ἐπινοίας, ὡς εἰς καιρὸν ὑπῆλθεν ὑμᾶς· ὄντως ἀνάγκης οὐδὲν προτιμότερον· εὗρον ὅπως ὡς ῥᾷστα τὸ παρὸν διαθήσω, καὶ σκοπεῖτε τὸν τρόπον, εἰ μὴ καλῶς. Τῷ Μεγάλῳ μὲν Βασιλείῳ τὴν λαμπρὰν ἐπιστήσω γλῶτταν καὶ θεολόγον μετὰ τῆς οὐρανίου φωνῆς καὶ τῶν πολυυμνήτων ἐκείνων, καὶ ὡς εἰπεῖν ἀθανάτων, ἀθανατιζόντων δὲ μᾶλλον ἐπιταφίων, οἷς σαφῶς ἔδειξεν ὡς ἔστιν, ἔστι ποτέ, καὶ λόγον ἔργῳ παρισωθῆναι, καὶ οὐ πανταχοῦ τῶν πραγμάτων οἱ λόγοι κατόπιν, ὡς ἡ παροιμία, βα-

(α) Ἀναφέρεσθαι δοκεῖ πρὸς τὰ τοῦ θείου Γρηγορίου ἐν τῷ εἰς τὸν Μέγαν Βασίλειον ἐπιταφίῳ· «Οἶμαι γὰρ εἴ τις τοὺς ἐν λόγοις δυνάμεως πεῖ» ραν ποιούμενος, ἔπειτα πρὸς μέτρον κρῖναι ταύτην θελήσειε μίαν ἐκ πα» σῶν ὑπόθεσιν προστησάμενος, καθάπερ οἱ ζωγράφοι τοὺς ἀρχετύπους πίνακας, » ταύτην ἂν ὑφελὼν μόνην, ὡς λόγου κρείττονα, τῶν ἄλλων ἑλέσθαι τὴν πρώτην· » τοσοῦτον ἔργον ἡ τοῦ ἀνδρὸς εὐφημία» ! § 1 — καὶ κατωτέρω § 2. « Καὶ τὸ » κρεῖττον ἢ κατὰ λόγου δύναμιν εἶναι τὸν εὐφημούμενον».

(β) Πρὸς Ἑβρ. κεφ. ΙΑ'. 38.

SISMANOGLIO MEGARO



δίζουσιν· Ἰωάννην δὲ καὶ Γρηγόριον, εἰ δὲ βούλει καὶ Βασίλειον αὖθις, ὡς μηδ' ἐνταῦθα χωρίζοιντο, πρὸς ἑαυτοὺς ἐπιστρέψω, καὶ ταῖς ἰδίαις [α] φωναῖς, ταὐτὸν δ' εἰπεῖν ταῖς τοῦ Πνεύματος προσχεῖν δεηθήσομαι, αἷς αὐτοὶ σχεδὸν ἅπαντας τοὺς εὐηρεστηκότας Θεῷ, μάλιστα δὲ τοὺς ὑπὲρ αὐτοῦ γενναίως ἀνδρισαμένους ἐτίμησαν· οὔτε γὰρ πλείους τούτων ἢ κρείττους ἀρετῆς ἐπαίνους εὑρεῖν ἐστίν, οὔτε μᾶλλον ἄλλοις ἁρμόζοντας ἢ τούτοις αὐτοῖς, εἰς ἓν πανταχόθεν ἅπαντας συνδραμόντας, καὶ τούτους κοινὴν ποιησαμένους ὑπόθεσιν. Οἱ μὲν οὖν ἑαυτοῖς τε καὶ ἀλλήλοις τὸν ἔπαινον συμπληρούτωσαν· πάντως [β] γὰρ οὐδὲν οἰκειότερον, εἴτουν ὁμοιότερον, ὃ δὴ λέγεται· ὑμεῖς δ' ὑπεικστῶμεν αὐτοῖς δηλονότι καὶ σιωπήσωμεν· οὐδὲ γὰρ θέμις, ἐκείνων λαλούντων, ἄλλο τι τολμᾶν τῶν ἁπάντων οὐδένα, ἢ καθάπερ ἐν τελετῇ μυστηρίων ἀκροᾶσθαι σιγῇ μετὰ πολλοῦ τοῦ σεβάσματος. Ἀλλὰ τί ποτε δοκεῖ ὑμῖν; τοῦτο κελεύετε, καὶ σιωπὴν τὸ ἐντεῦθεν ἡμῖν ἐπιτρέπετε ; ἢ παραινεῖτε καὶ αὐτὸν ἐπενθουσιάσαι τῷ καιρῷ τι μικρόν, καὶ τῇ μεγίστῃ Τριάδι τῶν Θεολόγων προσλαλῆσαι τὰ ἐπεισόδια;

§ β'. Τοιγαροῦν ἐπεὶ συνδοκεῖ, ὁ τῆς νῦν ἡμῖν ἔξαρχος μελῳδίας Δαβὶδ προανακρουσάσθω τῷ λόγῳ παρὰ τῶν ἑαυτοῦ τὸ προοίμιον· ἑψόμεθα δ' ἡμεῖς ὅπῃ ἄγει, συνῳδά, καθόσον ἐξῇ, τοῖς ἐκείνου φθόγγοις ὑποφωνοῦντες, « Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό» (γ). Ὁρᾶτε τὸ τοῦ Πνεύματος θέλημα; ἐπευδοκεῖ τῇ τῶν Ἁγίων ἑνώσει καὶ κοινωνίᾳ· ὁμοῦ τε γὰρ αὐτοὺς ὑποδέχεται, καὶ τῆς εἰς τὸ αὐτὸ συνδρομῆς καὶ συνελεύσεως ἀποδέχεται, ὡς δηλοῖ καὶ ὁ ἔπαινος σὺν ἡδονῇ τοσαύτῃ καὶ θαύματι τοὺς παρόντας [δ] φιλοφρονούμενος. Οὐ μὴν ἀλλ' ἐκδεχέσθω τὴν πρότασιν ἐντεῦθεν ὁ λόγος, καὶ καθ' εἱρμὸν ἀκολούθως παραινέσθω συνυφαινόμενος. Ἐκδέχεται τοίνυν οὐκ ἀηδῶς καὶ τηρεῖ τὴν συμφωνίαν οὐκ ἀφυῶς. Τίνα ταύτην, καὶ πῶς; Τούτους τοὺς συνοίκους ἀδελφοὺς καὶ συμψύχους ( ἀδελφοὶ γὰρ

[α] Ἀνάρθρως τὸ Χ. «ἰδίαις». — [β] ΒΠ. «Τούτῳ»· ἀλλ' ὁ νοῦς τοῦ χωρίου οὐ πάνυ τι σαφής. —(γ) Ψαλμ. ρλβ'. 1. — [δ] Β.Ι. «παρόντα», καὶ ἀνάρθρως.

ὄντως ἐκεῖνοι, καί τι πλέον περὶ τὰ κράτιστα, λόγον λέγω, καὶ τρόπον, καὶ τὴν τῶν ἐπιτηδευμάτων ὁμοίωσιν)· δέδωκε μὲν ὁ οὐρανὸς τοῖς ἐν γῇ [α], εἰ χρή τι σύντομον φάναι καὶ ἀληθές, ὅθεν «ἅπαν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον ἐκ τοῦ τῶν φώτων Πατρὸς» (β), οὐ κατὰ τὸν αὐτὸν τοὺς τρεῖς ἅμα συνάψας καιρὸν, ἀλλὰ τοὺς μὲν συνανίσχοντας ἀλλήλοις καὶ συνεκλάμποντας, τὸν δὲ φαιδρὸν οἷον ἐκείνοις ἐπανατέλλοντα, ἵνα καὶ βραδύτερον δύναντος ἀπολαῦσαι τῷ βίῳ χρονιώτερον γένοιτο τῆς θεσπεσίας αἴγλης ἐκείνης, καὶ διαρκεστέρας ἀπώνασθαι τῆς ἐκεῖθεν ὠφελείας καὶ σωτηρίας· ἀντέλαβε δὲ παρὰ τούτων αὖθις τὴν γῆν, δηλαδὴ τοὺς κατοικοῦντας αὐτὴν, οὓς ἐντεῦθεν οὗτοι τηνικαῦτά τε προὔπεμψαν κατὰ πλήθη συνεχῆ καὶ συστήματα, καὶ νῦν [γ] οὐχ ἧττον εἰσέτι προπέμπουσι, ταῖς καλαῖς τε καὶ σοφαῖς εἰσηγήσεσιν, ἐκεῖ τὸ πολίτευμα δεικνύντες ἡμῖν, «ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός» (δ)· καὶ τὴν μὲν ἐν αὐτῷ κεκρυμμένην ζωὴν ζητεῖν πείθοντες, ἀτιμάζειν δὲ πᾶν τὸ φαινόμενον, ὡς ἐκλεῖπον δίκην καπνοῦ, καὶ ταχὺ διαρρέον, καὶ ἀτεχνῶς ἀπολλύμενον, ἕως πᾶσιν ὁρᾶται καὶ κρατεῖσθαι δοκεῖ, κἂν τὴν αἴσθησιν σαίνῃ, τῷ ἡδεῖ παρακλέπτον τῆς πρὸς τὸ παρὸν ἀπολαύσεως.

§ γ'. Πλὴν ἡ μὲν γένεσις [ε] ἐκεῖθεν τούτοις σαφῶς καὶ οὐκ ἄλλοθεν· ἀγωγὴ δὲ καὶ αὔξησις τὸ Πνεῦμα τὸ ἅγιον, σοφίᾳ, καὶ συνέσει, καὶ χάριτι τὰς αὐτῶν κατακοσμῆσαν ψυχὰς, καὶ τοιούτους αὐτοὺς ἀποτελέσαν καὶ ἀπαρτίσαν, οἵους ἔπρεπεν εἶναι τοὺς ἐκείνου συμμάχους καὶ συνηγόρους· καὶ γὰρ ἐκινδύνευε Θεὸς δοκεῖν, εἴτε μή· μᾶλλον δὲ καὶ τοὺς ὁμοτίμους καὶ ὁμοδόξους, Πατέρα φημὶ καὶ Υἱὸν, συγκινδυνεύοντας εἶχε, καὶ μικροῦ πάλιν ταὐτὸν ὑποστῆναι προσδοκωμένους, ὅπερ ἤδη καὶ πρότερον, ἡνίκα τὸν μὲν ὄντως Θεὸν οὐδεὶς ἦν ὁ συνιὼν, οὐδ' ὁ ἐκζητῶν ὡς ἐχρῆν, ἄνω δὲ καὶ κάτω τὸ πᾶν ἐδονεῖτο καὶ συνεφέρετο, μάτην

[α] Ἐλλείπει τὸ ἄρθρον ἐκ τοῦ ΒΠ.— (β) Ἰακώβ. Α. 17.— [γ] ΒΠ. «νῦν δὲ». — (δ) Ἑβρ. ς. 20. — [ε] Τὸ Χ. «γέννησις».

SISMANOGLIO MEGARO



κατὰ τὸ γεγραμμένον τῶν ἀνθρώπων ταρασσομένων, καὶ ἀντὶ τῆς ἀληθείας ἀγαπώντων ματαιότητα καὶ μανίαν ψευδῆ (α), ἧς ἔργον ἡ τῶν βεβήλων εἰδώλων τιμὴ καὶ προσκύνησις· κακῶς μὲν εἰς νοῦν τοῖς ἀνοήτοις ἐλθοῦσα τὴν ἀρχὴν, ὡς μὴ ὤφειλε, κακῶς δὲ παρεισφθαρεῖσα τῷ βίῳ καὶ παραχθεῖσα, καὶ πρὸς τοσοῦτον κρατήσασα ἐπ' ὀλέθρῳ σαφεῖ καὶ τῆς ἀνοίας ἐλέγχῳ τῶν ἀνασχομένων τοιαῦτα σεβασθῆναι βδελύγματα. Τί γὰρ ἔδει πλειόνων θεῶν τοῖς οὐδὲ τὸν ἕνα φυλάξασι; Τοῦτο ἡμῖν ὁ τὸ πρόσθεν μὲν ἄδικος διώκτης ἐκεῖνος, τὰ δὲ νῦν μάλα δίκαιος δραπέτης Ἑλληνισμός. Θεοὶ πολλοὶ καὶ ψευδώνυμοι, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν· ἀπολέσθωσαν οὖν· μᾶλλον δὲ κακοὶ κακῶς ἤδη φθαρέντες πανδημεὶ ἀπώλοντο, ἀφ' οὗ περ ἡμῖν ὁ μόνος ἐπὶ πάντων Θεὸς, ὁ ἀκατάληπτος, ὁ ἀόρατος, διὰ σαρκώσεως γέγονε καὶ θεατὸς καὶ ληπτὸς, ἵνα γνωσθῇ καὶ ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις τὸ κἀκείναις ἀπ' αἰῶνος ἠγνοημένον μυστήριον, καὶ δείξῃ κατελθὼν ἐπὶ γῆν ἑαυτὸν τοῖς ἐπὶ γῆς ὁ Θεός. Κλίνει τοίνυν οὐρανοὺς καὶ κατέρχεται, καὶ γίνεται Παρθένου καθαρᾶς ἀπάτωρ υἱὸς, ὁ ἀμήτωρ τὸ πρὶν μονογενὴς Θεοῦ [β], καὶ λαβὼν τὸ ἡμέτερον, ἀντέδωκε τὸ οἰκεῖον· ἐνανθρωπεῖ καὶ θεοῖ, θνήσκει καὶ ζωοῖ, θάπτεται καὶ ἀνίστησι. Πρὸς δὲ τούτοις καὶ διὰ τούτων ἀπελαύνει τὴν ἀθεΐαν, ἀντεισάγει τὴν θεοσέβειαν, ὅλον ἀναφέρει τὸν κόσμον εἰς οὐρανὸν, καὶ τοῦτο πέρας ποιεῖται τῆς πρὸς ἡμᾶς ἀρρήτου συγκαταβάσεως, τὴν ἐμὴν χαμόθεν ἀνύψωσιν καὶ ἀνάβασιν διὰ τῆς αὐτοῦ ἐπιγνώσεως.

§ δ'. Ἐπεὶ δ' οὖν «ἐν ταῖς ἐσχάταις ἡμέραις ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος» (γ) καὶ τὸ φῶς τοῦ κόσμου εἰς τὸν κόσμον ἀνέτειλε, καὶ λάμψαν ἐν τῇ σκοτίᾳ τὴν σκοτίαν διέλυσεν, ἥτις ἦν ἡ περὶ τὰ εἴδωλα καὶ τοὺς δαίμονας τῶν ἀνθρώπων μανία· παρὰ ταύτης γὰρ ἐπὶ ποσὸν καὶ διώκεται, τοῖς ἑαυτοῖς ἀδρανῶς ἐπισπαιρούσης ἔτι λειψάνοις καὶ μετὰ τὴν διάλυσιν, οἱονεί τινος δράκοντος ἀνῃρημένου μὲν ἄρτι, κινουμένου δ' ὅμως βραχύ τε

(α) Ψαλμ. λά. 6.— [β] Τὸ Χ. «Θεός».—(γ) Πρὸς Τιτ. Β'. 11.

καὶ βραχεῖ τινι μέρει, καὶ τούτῳ ζητοῦντος ἀντιπλῆξαι τὸν ἀναιρέτην, πρὶν εἰς τέλος ἀπείποι συμπατηθεὶς κἀκεῖ βιαιότερον· ὅτε δὴ τοῦτο γέγονε, τηνικαῦτα φωτίζει μὲν «τὸ φῶς τὸ ἀληθινὸν πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον» (α), εἰς κρίμα δὲ γίνεται τοῖς ἐν τῷ κόσμῳ φανέν, ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται· μᾶλλον δὲ καὶ τῶν βλεψάντων ἐκείνων ἀποτυφλωθῶσι πολλοί, διὰ τὴν αὐτῶν ἀπειρίαν ἢ μοχθηρίαν, ἄρτι μὲν ἀνεθέντες τῆς ἐν σκότει μακρᾶς τε καὶ χρονίου διατριβῆς, ὅλῃ δὲ τῇ λαμπρᾷ μαρμαρυγῇ τοῦ φωτὸς ἀτενῶς εὐθὺς προσβάλλοντες [β], καὶ μήτε τὴν ἀθρόαν μεταβολήν, ὡς ἐπισφαλεῖς, μήτε τὴν τῶν οἰκείων ὄψεων φύσιν, ὡς ἀσθενεῖς ὑπολογισάμενοι. Ἐντεῦθεν αὐτοῖς τὸ περιπλανᾶσθαι τῇδε κἀκεῖσε καὶ τὸν τῆς θείας Γραφῆς τοῖχον [γ] ψηλαφᾷν ὡς τυφλοὺς κατὰ κρημνῶν τε φέρεσθαι καὶ βαράθροις ἐμπίπτειν, ἀλλήλοις τε περιπίπτειν, καὶ ὑπ' ἀλλήλων ὠθεῖσθαι καὶ ἀνατρέπεσθαι. Ἐντεῦθεν αὐτοῖς κατὰ τῆς ἀπροσίτου Θεότητος τὸ μεῖζον καὶ ἧττον, καὶ πρῶτον καὶ ὕστερον, κτιστόν τε καὶ ἄκτιστον, ἄρχον τε καὶ ἀρχόμενον, καὶ ὁ τῶν τοιούτων ἀλλοκότων ἀτοπημάτων ἑσμός· ἐντεῦθεν ἡ τῶν ἀσυγχύτων κακίστη συναλοιφή, καὶ τῶν ἀδιαιρέτων κακίων κατατομή, αἱ πρῶται κορυφαὶ καὶ πηγαὶ τῶν αἱρέσεων, ὁμοίως ἀλλήλαις καὶ τῇ εὐσεβείᾳ μαχόμεναι, ἄλλη τις πλάνη μετὰ πλάνην οὐχ ἧττων καὶ δευτέρα φανεῖσα μετὰ τὴν πρώτην ἀσέβειαν, ἵν' ἡ τοῦ ψεύδους κατάλυσις εἰς ψεύδους ἀρχὴν περιστῇ, καὶ τὸ κακὸν κακὸν διαδέξηται, καὶ λάθωμεν ἡμᾶς αὐτούς, ὦ τῆς ἐπηρείας! τηνικαῦτα ἀπολέσαντες Θεόν, ὅτε Θεὸν εὕρομεν. Οἶδε γὰρ ταῦτα τεχνάζειν τε καὶ στρέφειν πολλάκις [δ] ὁ τῆς κακίας σοφιστής, ὁ πικρὸς τοῦ γένους ἡμῶν ἀπ' ἀρχῆς ἐχθρὸς καὶ πολέμιος· ὃς ἀπογινώσκων τὰ στέρνα, τοῖς νώτοις ἐπιχειρεῖ, καὶ τῶν ἀριστερῶν ἐκκρουσθεὶς προσ-

(α) Ἰωανν. α'. 9. — [β] Τὸ Χ. «προσλαβόντες». — [γ] Ἐγράψαμεν οὕτως ἀντὶ τοῦ παρ' ἀμφοτέροις τοῖς χειρογρ. «τὸ τεῖχος», κατὰ τὸ «ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον». Ἡσ. νθ'. 10.— [δ] Ἐλλείπει τὸ «πολλάκις» ἐκ τοῦ Χ.

SISMANOGLIO MEGARO



βάλλει τοῖς δεξιοῖς, σφόδρα ποικίλος ὢν τὴν ἐπίνοιαν, καὶ πάνυ τολμηρὸς τὴν ἐπήρειαν (α)· οἷον δή τι κἀνταῦθα κακουργεῖ καὶ σοφίζεται. Τὴν γὰρ ἑαυτοῦ τιμήν τε καὶ θεραπείαν, ἧς μετεῖχε τὸ πρότερον, ἀπελπίσας καθάπαξ διὰ τὴν τοῦ καταλύσαντος αὐτὴν δύναμιν, ἑτέρως ἡμῖν ὁ ἀναιδὴς ἐπιτίθεται, καὶ δι' ἄλλης προσβάλλει. Τὰς διαφόρους γοῦν περὶ τοῦ ἑνὸς ὑπολήψεις ταύτας καὶ δόξας κατασκεδάσας ἡμῶν, καὶ τὴν μίαν καὶ ἁπλῆν φύσιν πολυτρόπως τε καὶ ποικίλως παρασκευάσας φαντάζεσθαι, ὑπηγάγετο μικροῦ τὸ ἀνθρώπινον αὖθις εἰς ἀθεΐαν, τῷ τοῦ δόγματος ἀνίσῳ καὶ ἀνομοίῳ σκανδαλίζων τοὺς πλείονας, καὶ πείθων καταγινώσκειν ὡς ἀσυστάτου τῆς πίστεως διὰ τὸ πρὸς αὐτὴν [β] ὡς ἂν εἴποι τις, ἀσύμβατον καὶ ἀσύμφωνον. Τίς οὖν ἐπὶ τούτοις ἡ τῆς ἀποῤῥήτου σοφίας οἰκονομία, καὶ ποταπὴν εὑρίσκει βοήθειαν, οὕτω πάλιν οὐχ ἧττον ἢ πρότερον κινδυνευούσῃ τῇ εὐσεβείᾳ; Τὰς μεγάλας σάλπιγγας ταύτας τῆς ἀληθείας, ἢ τὰς οὐρανίους βροντάς, ἵν' οἰκειότερον εἴπω, τοῖς κακοῖς τοῦ Λόγου σπαράκταις καὶ ὑβρισταῖς τῆς Θεότητος ἐπαφίησι· δι' ὧν ἔτι ἅπαξ ἡ ὑπ' οὐρανὸν πᾶσα σείεται, καὶ καταβάλλεται μὲν αὖθις ὁ τῆς Χαλάνης Πύργος ἐκεῖνος μετὰ τῆς ἐναντίας θαυματουργίας, οὐ σύγχυσιν ὁμοίως γλωσσῶν, ἀλλὰ συμφωνίαν ἀπεργαζόμενος, μᾶλλον δὲ τῶν ἀγνωμονεστέρων καὶ σύγχυσιν· καθαιρεῖται δὲ τείχη πονηρὰ καὶ πολέμια σαλπισθέντα [γ] στεῤῥῶς, ἃ σαθρῶς ᾠκοδόμητο· ταπεινοῦται δὲ καλῶς ἅπαν ὕψωμα κατὰ τῆς θεογνωσίας κακῶς ἐπαιρόμενον· μετασκευάζεται δὲ καὶ μεταῤῥυθμίζεται τὸ πᾶν πρὸς τὸ βέλτιον, καὶ τὴν ἀρίστην ὄψιν καὶ τάξιν λαμβάνει ταῖς Ἐκκλησίαις τὰ πράγματα, τῶν σκολιῶν εἰς εὐθεῖα μεταβληθέντων, καὶ τῶν τραχέων εἰς λείας μεταποιηθέντων ὁδούς.

§ ε'. Τί γὰρ ὁμαλώτερον ἢ εὐθύτερον [δ] τῆς τούτων θεολο-

(α) «Καὶ πάνυ πονηρὸς τὴν ἐπίθεσιν». — [β] Οὕτω διωρθωσάμεθα ἀντὶ τοῦ παρ' ἀμφοτέροις τοῖς χειρογρ. φυλασσομένου «αὐτήν».— [γ] Βιβλ. «περισαλπισθέντα». — [δ] Ἐλλείπει ἐκ τοῦ Χ. τὸ «ἢ εὐθύτερον».

γίας; ἡ τῷ τῆς ὑψηλῆς θεωρίας ὄρει προσβαίνουσα, τὸ μὲν ἄναντες καὶ τὸ κάταντες, εἴτουν τὰς προθέσεις [α] καὶ τὰς ὑφέσεις, ἔτι δὲ τὰς κατατομὰς καὶ συγχύσεις, καὶ τὸ ἀντίστροφον ἴσον τῆς ἐν κακοῖς ἀνισότητος, ἐπίσης ἐκκλίνει μετὰ τῶν βλασφήμων ἐκείνων καὶ θεομάχων γλωσσῶν, καὶ τὰ δι' αὐτῶν ἀνιέναι πειρῶντα θηρία στεῤῥοτάτοις λίθοις λιθοβολοῦσα ἀπωθεῖται καὶ διώκει μακρὰν, ὡς ἀκάθαρτα καὶ τοιαύτης ὀπτασίας ἀνάξια· αὐτὴ δὲ τὸ μέσον ἀπολαβοῦσα καὶ ὁμαλὸν, ὡς δ' εἰπεῖν ἁπλῶς καὶ ἀσφαλὲς, ἐκεῖ τὴν νεφέλην εὑρίσκει, καὶ ταύτης εἴσω χωρεῖ, καὶ Θεῷ προσλαλεῖ, καὶ γνωστῶς αὐτὸν βλέπει, καὶ μυεῖται καθαρὰν τὴν ἀλήθειαν· ἀποκαλύπτεται γὰρ αὐτῇ φανερῶς καὶ γνωρίζεται, Θεὸς μὲν ἀγέννητος ὁ Πατὴρ, Θεὸς δὲ γεννητὸς ὁ Υἱὸς, καὶ Θεὸς ἐκπορευτὸς τὸ Πνεῦμα τὸ ἅγιον, οἱ αὐτοὶ εἷς καὶ τρεῖς, τὸ παραδοξότατον, καὶ πᾶσι πλὴν τοῖς γνησίοις λατρευταῖς τῶν Τριῶν ἀσαφὲς καὶ ἀπερινόητον· τρεῖς μὲν χαρακτῆρες, οὐχὶ Θεοί [β], εἷς δ' οὐχ ἧττον Θεὸς, ὅτι μία Θεότης καὶ αὐτὴ τῶν Τριῶν, οὔτε τὰς ὑποστάσεις ἑνοῦσα τῷ ἑαυτῆς ἑνιαίῳ [γ], οὔτε πάλιν ἐκείναις συμπληθυνομένη διὰ τὸ πλῆθος, ἀλλ' οἷον ἀκτῖνας ὁμοίως ἀποῤῥήτως προβαλλομένη, ἐξ Ἡλίου τε προϊούσας ἑνὸς καὶ τηρούσας ἕνα τὸν Ἥλιον (εἴ τι δὴ τὸ ἀνείκαστον καὶ οὕτως εἰκάσαι τὸν παρ' ἄλλοις εἰκασμὸν ἀνατρέψαντα), οὐδὲν ἐχούσας διάφορον, πλὴν ἢ μόνον ἑκάστην τὴν ἰδιότητα· οὐδὲν περιττὸν ἢ ἐλλεῖπον, ἀλλὰ καὶ φύσει, καὶ δόξῃ, καὶ δυνάμει, καὶ ἀγαθότητι λίαν ἀκριβῶς ἀποσωζούσας τὸ ἴσον, μᾶλλον δὲ τὸ ταὐτὸν, καὶ ἀϊδίως ἀλλήλαις συνούσας καὶ συνεπομένας εἰς τὸ ἀπέραντον.

§ ς΄. Αὕτη τοῦ Παντὸς δημιουργὸς ἡ Τριάς· « οὗτος ὁ Θεὸς ὁ ἡμέτερος, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν », οὐδ' ἑτέρως ἢ οὕτως περὶ αὐτοῦ τις λογίσεται τῶν φρονούντων ὀρθῶς· « ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης », προφητικὴ λεγέτω φωνὴ, καὶ « δέδωκεν αὐτὴν πάλαι μὲν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ », μετὰ ταῦτα δὲ τοῖς τρισὶν αὐτοῦ τού-

[α] ΒΠ. «προθέσεις».—[β] ΒΠ· «οὐχ οἱ Θεοί».—[γ] ΒΠ. «τῷ αὐτῆς ἑνιαίῳ».



τοις λατρευταῖς καὶ προσκυνηταῖς [α]· ἔδει γὰρ πάντως τὴν δι' ἣν πάντα γέγονεν ἁγίαν Τριάδα ἰσαρίθμους ἑαυτῇ θεραπευτὰς ὑποστῆσαι, καὶ μετὰ τῆς πρὸς ἑαυτὴν συμβουλῆς ποιῆσαι πάλιν ἀνθρώπους κατὰ τὴν ἰδίαν εἰκόνα τε καὶ ὁμοίωσιν, πολὺ τῆς προτέρας ἀκριβεστέραν καὶ σαφεστέραν κατὰ τὰ τρία [β] τοὺς τρεῖς, ὅτι τε τοσοῦτοι καὶ ὅτι κατὰ πάντα θεοειδεῖς, καὶ τρίτον κατὰ τὴν σύμπνοιαν. Τὸ δὲ μεῖζον καὶ τέταρτον καὶ τῆς ἐμφερείας μᾶλλον συνεκτικὸν, κατὰ τὴν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας σπουδὴν, ἧς οὐδενὶ τῶν πάντων τοσοῦτον, ὅσον Θεῷ τε κἀκείνοις ἐμέλησε. Τὰ μὲν οὖν ἄλλα τῶν ἐκείνοις καλῶν, καὶ τὸ τῶν ἀγαθῶν ἔργων φῶς, ὃ τῶν ἀνθρώπων ἔμπροσθεν ἔλαμψε [γ], θαυμαζέτωσαν ἕτεροι· λέγω δὴ ψυχῆς καθαρότητα, σώματος ἁγιασμὸν, λαμπρότητα βίου, χρηστότητα τρόπων, εὐκοσμίαν ἠθῶν, τὴν ἀσαρκίαν, τὴν ἀϋλίαν, τὴν ἐν νεκρώσει ζωὴν, τὴν ἀπάθειαν, τοὺς ἐπὶ τούτοις ἱδρῶτας, τοὺς ὑπὲρ τῶν ὀρθῶν δογμάτων ἀγῶνας, τοὺς διωγμοὺς, τοὺς πολέμους, τοὺς κινδύνους, τὸν θάνατον, ὃν μετὰ Παύλου κἀκεῖνοι διὰ τὸ κήρυγμα καθ' ἡμέραν ἀπέθνησκον (δ). Δεῦρο δὴ συμπανηγυρίσατέ μοι πάντες, ὁπόσοι τῶν καλῶν ἐρασταί· ὀργᾷ γὰρ ὁ λόγος τοῖς ἐκείνων ἐπ' ἐκείνοις ἐγκαλλωπίσασθαι· καὶ νεμεσήσει πάντως οὐδεὶς, ὅπου γὰρ [ε] κἀκεῖνοι πολλάκις εἰς τὰς αὐτὰς ἐμπίπτοντες ὑποθέσεις παρ' ἑαυτῶν ἀναισχύντως τὰς ἐξηγήσεις δανείζονται (ζ)· δεικνύντες ὥσπερ ἡμῖν, ὅτι ὅπερ ἂν ἔφθα-

[α] Τὸ Χ. «καὶ προσκυνηταῖς αὐτοῦ».
[β] Ἐλλείπει τὸ ἄρθρον ἐκ τοῦ ΒΠ·
[γ] Οὕτως ἀντὶ τοῦ παρ' ἀμφοτέροις τοῖς χειρογρ. «ἔλαμψαν».
(δ) Α. Κορινθ. ΙΕ. 31. —[ε] ΒΠ. «ὅπου γὰρ» ἄμεινον.
(ζ) Τὰ γὰρ ἐφεξῆς ἀπὸ τοῦ «Δεῦρο τοίνυν ... πᾶσα καὶ φύσις. . . . . ἵνα κερδάνωσι πάντας, ἢ πλείονας», ἐκ τῶν τοῦ θείου Γρηγορίου μετέγραψεν ἐνθάδε ὁ ἱερὸς τῶν Εὐχαϊτῶν ποιμήν· αὐτὸς δὲ Γρηγόριος δὶς τοῖς αὐτοῖς τούτοις ἐχρήσατο ῥήμασι, πρῶτον μὲν ἐν τῷ εἰς τὸν Μέγαν Ἀθανάσιον ἐπιταφίῳ (§ ζ΄), εἶτα δὲ ἐν τῷ εἰς τὸν Μέγαν Βασίλειον (§ πά)· ἄρχεται δὲ ἐν ἐκείνῳ μὲν ὧδε· «Δεῦρο οὖν μοι διέλεσθε τὰ ἐκείνου καλὰ ὅσοι τῶν ἐκείνου ἐπαινέται καὶ μάρτυρες, καὶ ἀγῶνα καλὸν ἀγωνίσασθε πρὸς ἀλλήλους, ἄνδρες ὁμοῦ καὶ γυναῖκες» κ.τ.λ. ὡς ἀνωτέρω ἐν τῷ κειμένῳ· ἐν δὲ τῷ εἰς τὸν Μ. Βασίλειον ὧδε· «Δεῦρο δὴ

σαν εἰπόντες αὐτοὶ ἀμήχανον ἑτέρως ῥηθῆναι μεθ' ὑπερβαλλούσης ὥρας καὶ χάριτος, ἐπεὶ καὶ μόνους, ὡς ἔοικεν, ἐκείνους τοὺς ἀηττήτους, οὐδ' ὑφ' ἑαυτῶν ἦν νικᾶσθαι διὰ τὸ πανταχοῦ τῆς ἀκρότητος τὴν παρ' αὐτοῖς ἀκρίβειαν ἔχεσθαι. « Δεῦρο τοιγαροῦν
» ἡλικία πᾶσα καὶ φύσις συνερανίσασθέ μοι τὰ πρὸς τὸν ἔπαινον,
» καὶ ἀγῶνα καλὸν ἀγωνίσασθε πρὸς ἀλλήλους· ἄνδρες ὁμοῦ καὶ
» γυναῖκες, νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων,
» ἱερεῖς καὶ λαοὶ, οἱ μοναδικοὶ καὶ μιγάδες, οἱ τῆς ἁπλότητος καὶ
» ἀκριβείας, ὅσοι τῆς θεωρίας καὶ ὅσοι τῆς πράξεως· ὁ μὲν ἐπαι-
» νείτω τὸ ἐν προσευχαῖς καὶ νηστείαις [α] οἷον ἀσώματόν τε καὶ
» ἄϋλον· ὁ δὲ τὸ ἐν ἀγρυπνίαις καὶ ψαλμῳδίαις εὔτονον καὶ ἀ-
» ήττητον [β]· ἄλλος τὸ ἐν προστασίαις [γ] τῶν δεομένων, ἄλλος
» τὴν πρὸς τὸ ὑπερέχον ἀντιτυπίαν, ἢ πρὸς τὸ ταπεινὸν συγκα-
» τάβασιν· αἱ παρθένοι τοὺς νυμφαγωγοὺς, αἱ ὑπὸ ζυγὸν τοὺς σω-
» φρονιστὰς, οἱ τῆς ἐρημίας τοὺς πτερωτὰς, οἱ τῆς ἐπιμιξίας τοὺς
» νομοθέτας, οἱ τῆς ἁπλότητος τοὺς ὁδηγοὺς, οἱ τῆς θεωρίας τοὺς
» Θεολόγους, οἱ ἐν εὐθυμίᾳ [δ] τὸν χαλινὸν, οἱ ἐν συμφορᾷ [ε] τὴν
» παράκλησιν, τὴν βακτηρίαν ἡ πολιὰ, τὴν παιδαγωγίαν ἡ νεό-

» περιστάντες με πᾶς ὁ ἐκείνου χορὸς, ὅσοι τοῦ βήματος καὶ ὅσοι τῶν κάτω· ὅσοι
» τῶν ἡμετέρων καὶ ὅσοι τῶν ἔξωθεν, τὴν εὐφημίαν μοι συνεργάζεσθε, ἄλλοι ἄλ-
» λο τι τῶν ἐκείνου καλῶν διηγούμενοι καὶ ζητοῦντες· οἱ τῶν θρόνων τὸν νομο-
» θέτην· οἱ τῆς πολιτείας τὸν πολιστήν· οἱ τοῦ δήμου τὴν εὐταξίαν· οἱ περὶ λό-
» γους τὸν παιδευτήν· αἱ παρθένοι τὸν νυμφαγωγόν· αἱ ὑπὸ ζυγὸν τὸν σωφρονι-
» στήν· οἱ τῆς ἐρημίας τὸν πτερωτήν· οἱ τῆς ἐπιμιξίας τὸν δικαστήν· οἱ τῆς
» ἁπλότητος κ.τ.λ.» ὡς ἀνωτέρω ἐν τῷ κειμένῳ. Ταύτης δὲ τῆς περιόδου τὴν ἔφοδον μιμησάμενος συνεῖρεν, ὅστις ποτ' ἦν ὁ συνείρας, τὸ εἰς τὸν ἅγιον Νικόλαον δοξαστικὸν τῶν αἴνων « Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων » (ς'. Δεκεμβ.). Καὶ ἄλλοι δέ τινες ὕστερον ἕτερα τούτῳ προσόμοια ἐμελούργησαν· ἐν οἷς καὶ οἱ Ξανθόπουλοι Νεῖλός τε καὶ Νικηφόρος ὁ Κάλλιστος, ὁ μὲν τὸ εἰς τοὺς τρεῖς Ἱεράρχας δοξαστικὸν τῶν ἀποστίχων ἐξυφάνας, ὁ δὲ Κάλλιστος τὸ εἰς τὴν Θεοτόκον τῇ παρασκευῇ τῆς Διακαινησίμου· καὶ Γερμανὸς (ὁ Νέος) Πατριάρχης Κωνσταντινουπόλεως τὸ Θεοτοκίον τῶν Αἴνων (ς'. Δεκεμβρίου).

[α] Παρὰ Γρηγ. «ἐν νηστείαις καὶ προσευχαῖς». — [β] Παρὰ Γρηγ. «εὔτονόν τε καί». — [γ] Παρὰ Γρηγ. «ἐν προστασίαις». — [δ] Παρὰ Γρηγ. «εὐθυμίαις». [ε] Παρὰ Γρηγ. «συμφοραῖς».

SISMANOGLIO MEGARO



» της, ἡ πενία τοὺς πορίστὰς, ἡ εὐπορία τοὺς οἰκονόμους· δοκοῦσί
» μοι καὶ χῆραι τοὺς προστάτας ἐπαινέσεσθαι, καὶ ὀρφανοὶ τοὺς
» πατέρας, καὶ οἱ πτωχοὶ τοὺς φιλοπτώχους, καὶ τοὺς φιλοξένους
» οἱ ξένοι, καὶ τοὺς φιλαδέλφους οἱ ἀδελφοί· οἱ νοσοῦντες τοὺς
» ἰατροὺς, ἣν βούλει νόσον καὶ ἰατρείαν· οἱ ὑγιαίνοντες τοὺς φύ-
» λακας τῆς ὑγιείας· οἱ πάντες τοὺς πᾶσι τὰ πάντα γινομένους,
» ἵνα κερδάνωσι πάντας ἢ πλείονας ». Ταῦτα μὲν ἅπερ εἶπον αὐτοὶ δηλονότι καὶ οὐκ ἐγὼ, διεξιέτωσαν ἕτεροι.

§ ζ'. Ἐπεὶ πρὸς τοῖς ἄλλοις καὶ τὸ παρ' ἑκάστῳ τούτων δοκοῦν πλεονεκτεῖν ἐν τοῖς λόγοις, καὶ πρὸς τοὺς λοιποὺς παραλλάττειν λογικώτερον τινὲς ἐπισκέπτονται. Τοῦ μὲν γὰρ πρὸ πάντων τὸ λαμπρὸν καὶ διάτορον τοῖς λόγοις [α] θαυμάζουσι, καὶ τὸ περὶ πᾶν εἶδος λόγου προσφυὲς καὶ κατάλληλον· θεολογεῖ τε γὰρ ὑψηλῶς, καὶ τὰς φύσεις τῶν ὄντων ἐναργῶς παριστᾷ· ἐῤῥωμένος δὲ κἀν τοῖς ἐξηγητικοῖς ὅτι μάλιστα, οὐχ ἧττον ἀκμάζει τοῖς ἠθικοῖς, πανηγυριστής τε λαμπρότατος, εἴ τις ἄλλος τῶν πάντων· καὶ δεινὸν αὖθις πνεῖ [β] περὶ τὰς ἀντιθέσεις, καὶ τὰ παλαίσματα, κἂν αὐτὸς ἐπὶ πᾶσι μετριάζειν εἰδὼς ἀποπροσποιεῖται τὸ μέρος τοῦτο τῶν λόγων, ἅπερ οὕτω μάλα τρανῶς τῷ μεγάλῳ πάντα διασαφεῖται, καὶ ἵν' ἐμφαντικώτερον εἴπω [γ], διαζωγραφεῖται καὶ δείκνυται, ὡς δοκεῖν τὸν ἀκροατὴν ὁρᾷν μᾶλλον ἤπερ ἀκούειν τὸ παρ' ἐκείνου λεγόμενον· μόνος γὰρ τῷ ὄντι Βασίλειος « τοῖς ἀψύχοις λόγοις ψυχὴν ἐχαρίσατο», ὅπερ ἄλλοις αὐτὸς ἐπιμαρτυρεῖ (δ).

[α] ΒΠ. «τῆς γλώσσης» ἀντὶ «τοῖς λόγοις». — [β] Οὕτως ἐκ τοῦ ΒΠ. ἀντὶ τοῦ παρὰ τῷ Χ. «πνεῦμα». — [γ] Ἐν τῷ Χ. «ἐκφαντικώτερον.» —

(δ) Βασίλειος Λιβανίῳ— «ἔμπνουν γὰρ λόγον ἐπὶ χθονὸς Λιβάνιος ἔγραψεν, ὃς
» μόνος τοῖς λόγοις ψυχὴν ἐχαρίσατο» (Ἐπιστολ. τνγ. Τόμ. Γ'. σελ. 672. ἔκδοσ. Παρισ. 1839). Οὐκ ἄκαιρον δ' ἴσως ὧδε παραθέσθαι τὴν περὶ τοῦ θείου Βασιλείου κρίσιν τοῦ ἱεροῦ Φωτίου. Φησὶ γάρ· « Ἀνεγνώσθη Βασιλείου τοῦ θεσπεσίου τὰ εἰς
» τὴν Ἑξαήμερον· ἄριστος μὲν ἐν πᾶσι τοῖς αὐτοῦ λόγοις ὁ Μέγας Βασίλειος· λέ-
» ξει τε γὰρ καθαρᾷ καὶ εὐσήμῳ καὶ κυρίᾳ καὶ ὅλως πολιτικῇ καὶ πανηγυρικῇ δεινὸς,
» εἴπερ ἄλλος, χρήσασθαι, νοημάτων τε τάξει καὶ καθαρότητι πρῶτος ἀλλ' οὐδενὸς
» δεύτερος φέρεται· πιθανότητος δὲ καὶ γλυκύτητος καί γε λαμπρότητος ἐραστὴς,
» καὶ ῥέων τῷ λόγῳ, καὶ ὥσπερ ἐξ αὐτοσχεδίου πηγάζων τὸ ῥεῖθρον καὶ τῷ πι-

§ η'. Γρηγορίου δὲ τοῦ σοφοῦ, τοῦτο δὴ σοφώτερον οἴονται, τὸ καθεστηκὸς ἐν τῷ λόγῳ καὶ βεβηκός· ἔτι δὲ τὸ τοῦ νοῦ μεγαλοπρεπὲς καὶ μετέωρον, καὶ τὸ ἐν ὄγκῳ [α] βραχεῖ πολλὴν κρύπτειν δύναμιν, ὡς ὁ νάπυος κόκκος, ἢ ὁ τίμιος μαργαρίτης, τὰ τῆς βασιλείας προμοιώματα, ὃν ὀρθῶς τις εἴκασεν ἤδη (ϐ), κἂν οὐκ ὀρθῶς αὐτὸς εἶχεν, ἐξ οὐρανοῦ προκύπτοντα φθέγγεσθαι· οὗ λόγος [γ] μὲν παντὸς κρείττων· ὁ γλυκασμὸς δ' ἐκεῖνος τοῦ λόγου καὶ τὸ κάλλος ἀμήχανον· ὃ καὶ τεχνικῆς ὑψηλότερον μεθόδου, πραγματείας [δ] ὕψει καὶ μεγέθει λόγου τοσούτῳ, τηλικαύτην ἡδύτητα καὶ χάριν ἀναμεμίχθαι· πέραν δὲ παντὸς θαύματος ἡ πανταχοῦ συμμετρία· στοχαζομένη μὲν εὐστοχώτατα τοῦ σκοποῦ τε καὶ τοῦ καιροῦ, ἐν δὲ ζυγῷ καὶ σταθμῷ φράσιν ἅμα καὶ νόημα τιθεῖσα καὶ ταλαντεύουσα, ὥσπερ κέντρῳ τῷ διηγήματι, πρὸς κανόνα τινὰ καὶ διαβήτην ἐξακριβούμενα (ε).

» θαυμῷ δὲ ἐπὶ τοσοῦτον ἧκεν ἀπηκριβωμένος, ὡς εἴ τις πολιτικοῦ λόγου τοὺς αὐτοῦ
» λόγους παράδειγμα ἑαυτῷ θείη, ἔπειτα τούτους ἐμμελετῴη, μηδὲ τῶν εἰς τοῦτο
» συντελούντων δηλονότι νόμων ἄπειρος ὑπάρχων, οὐδενὸς αὐτὸν ἑτέρου δεήσεσθαι,
» οἶμαι, οὔτε Πλάτωνος, οὔτε Δημοσθένους, οἷς οἱ παλαιοὶ ἐνδιατρίβειν προτρέ-
» πονται, εἰς τὸ πολιτικόν τε καὶ πανηγυρικὸν ῥήτορα γενέσθαι». (Βιβλιοθ. Κωδ. 141). — [α] Ὁ «καὶ» ἐκ τοῦ ΒΠ.

(ϐ) Ἄδηλον τίνα ὁ λόγος ὑπαινίσσεται· ἔοικε δ' ὅτι ἦν εἷς τις τῶν ἐπ' αὐτοῦ τοῦ Εὐχαΐτων γενομένων σοφὸς μέν, ἀλλ' αἱρετικός· δηλοῖ δὲ τρανῶς καὶ αὐτὸ τό, «εἴκασεν ΗΔΗ».

[γ] ΒΠ. Οὗ λόγου μὲν ὁ γλυκὺς ὁ γλυκασμὸς ἐκεῖνος». — [δ] Τὸ ΒΠ. «καὶ πραγματείας».

(ε) Ἐπεὶ δὲ περὶ τοῦ θείου Γρηγορίου οὐδὲν κριτικώτερον τῷ μεγάλῳ σεσημείωται Φωτίῳ ἐν τῇ κλεινῇ Μυριοβίβλῳ, φέρε, τοῖς ἐντυγχάνουσι χαριζόμενοι, καταλέξωμεν ὧδε ὀλίγα ἐκ πολλῶν, τὴν ἐν λόγοις δεινότητα τοῦ Πατρὸς ἀφορῶντα, ἐκ τοῦ τέως ἀνεκδότου εἰς αὐτὸν ἐγκωμίου Θεοδώρου Μετοχίτου τοῦ μεγάλου Λογοθέτου· (κατέστρωται δὲ καὶ τοῦτο ἐν τῷ αὐτῷ Κώδηκι, ἐν ᾧ καὶ τὰ ἀνὰ χεῖρας τοῦ Εὐχαΐτων· ἤκμασε δὲ ὁ Μετοχίτης ἐπὶ βασιλείας Ἀνδρονίκου τοῦ Β'. 1310—1332·) φησὶ δέ «Τῷ ὄντι γὰρ καὶ μέγιστον ἔργον τοῦτο καὶ θαῦμα, καὶ οἷον ἄῤῥητος ἡ
» τοιαύτη τοῦ λέγειν, ἣν ὁ μέγας οὗτος ὑπέδειξεν, οἰκονομία τε καὶ διάθεσις,
» καὶ ὅπως τὰ τῆς τέχνης ἅπαντα τῶν λόγων εἴδη καὶ τῶν τῆς φωνῆς χρωμάτων
» τὰς ἑτερότητας καὶ τὴν ποικιλίαν οὕτως ἐκέρασε κάλλιστα καὶ μεθ' ὑπερβολῆς
» ἡρμόσατο, ὡς μᾶλλον μὲν θαυμάζεσθαι τὸ ἀξίωμα καὶ τὸν ὄγκον, μᾶλλον δὲ τὴν
» ὥραν τε καὶ τὸ λεῖον, οὐδὲν δὲ ἧττον τὴν ἐν τοιαύτῃ χάριτι σωφροσύνην· καὶ του-
» τοῦτο μὲν εἶναι τὸ σεμνόν τε καὶ διῃρημένον, ὡς μὴ λυπεῖν ἀηδίᾳ καὶ αὐστηρί-

SISMANOGLIO MEGARO



§ θ'. Τοῦ δὲ χρυσοῤῥόου τὸ ῥεῦμα, καὶ τὴν ἀεικίνητον καὶ ἀκάματον πρὸς τὸ λέγειν φοράν, ὑπερφυῶς καταπλήττονται· τὰ τῶν ψυχῶν μὲν ὦτα ζητοῦσαν, καὶ πρὸς ἐκεῖνα τὴν πᾶσαν ποιουμένην ὁρμήν, συνεφελκομένην δ' ὅμως οὐχ ἥκιστα καὶ τὴν θαυμαστὴν εὐγλωττίαν, οὐ τεχνικήν τινα μᾶλλον δοκοῦσαν ἢ φυσικήν, οὐδ' ἀνθρωπίνην μᾶλλον ἢ θείαν· δι' ἧς ἡ ἄμαχος δύναμις ἐκείνη τοῦ λόγου θεραπεύουσα πρότερον τὰς σωματικὰς ἀκοάς, οἱονεὶ πυλωρούς τινας λίχνους καὶ ἀναιδεῖς, οὕτω δι' αὐτῶν εἰς τὰς ψυχικὰς καταῤῥεῖ προσηνῶς καὶ ἠπίως δίχα ψόφου καὶ ῥοίζου, τοῦ ἐλαίου καὶ μέλιτος τρόπον εἰσερχομένη, καὶ τὰ βάθη καθαίρουσα πιαίνει καρδίας, καὶ πρὸς ὠδῖνας ἐγείρει νοητῆς εὐκαρπίας, οἷς τε τὴν γραφὴν σαφηνίζει μετά τινος χάριτος ἀῤῥήτου καὶ θεσπεσίας, καὶ οἷς ἑτέρως ὁ πάνσοφος τὰς ἀνθρωπίνας γνώμας ἐπάγεται (α).

» ται· τοσοῦτο δὲ τὸ χαρίεν αὖθις καὶ εὐπροσήγορον εἰς ἀκοὴν καὶ φιλάνθρωπον,
» ὡς μὴ καταπίπτειν εἰς εὐτέλειαν καὶ ἀνανδρίαν καὶ λύσιν εὐπεριφρόνητον· ἀλλ'
» ὅλον εἶναι τὸ ἔαρ ἐπὶ τῆς ἐκείνου γλώττης, καὶ χειμῶνος ἀγριότητα φεύγειν, καὶ
» θέρους ἔκλυσιν, καὶ μετοπώρου κατήφειαν καὶ ἀμετρίαν καὶ ἀνισότητα. Οὕτως
» ἡδὺς μὲν ὁ λόγος αὐτῷ, γενναῖος δέ· καὶ τρυφᾷ μὲν καὶ παρέχεται τρυφήν, ἀλλ'
» ἐγκρατῶς ἔχει κομιδῇ· καὶ χαρίζεται μὲν μεθ' ἱλαρότητος, οὐ περιφρονεῖται δέ·
» καὶ θεατρικῶς μὲν ἐσκεύασται καὶ πρὸς πανήγυριν ἐῤῥαστωνευμένος· ἀλλὰ καὶ
» ὑψηλὸς ὑψηλῶς ἄνω προκάθηται, καὶ παντάπασιν ἔξω τῆς τῶν πολλῶν ἐντυχίας·
» καὶ δεινὸς μὲν ὅτι μάλιστα, ἁπλοῦς δὲ ὡσαύτως, τοτὲ μὲν τὸν νοῦν, τοτὲ δὲ τὸ
» πρόδηλον ἔξω καὶ φαινόμενον· καὶ τούτων ἑκάτερον ἐφ' ἑκατέρου τῶν εἰρημένων
» συνιὸν πρὸς τὴν χρείαν, ὥστε θαυμάζεσθαι τὸ σφόδρα καίριον, εἴ τις καλῶς ἐννοεῖν
» δύναιτο· καὶ καθόλου γε εἰπεῖν, καινήν τινα ταύτην ἔξεστι καὶ ἁρμονίαν συλλο-
» γίζεσθαι καινήν τινα καὶ πρώτην ἐξευρημένην· καὶ μόνου αὐτοῦ πάντ' ἀρίστην τε καὶ
» τελείαν καὶ ὡς ἀληθῶς ἀμίμητον, καὶ νικῶσαν πάντα παλαιά τε καὶ νέα· τοῦ
» μὲν ἀρχαίου μεγέθους, καὶ τῆς ἀπισέτου σεμνότητος κρατοῦσαν τῷ καινῷ κάλλει·
» τῆς νεωτερικῆς δὲ βλακείας ὕστερον καὶ κερδαλισμοῦ, καὶ τῶν ἀγεννῶν λογισμά-
» των καὶ ἀκολάστων ὑπερφρονοῦσαν ἑλληνικῆς μεγαλοπρεπείας ἀκμῇ».

(α) Ὁ δὲ Φώτιος· «Ἡ δὲ φράσις αὐτῷ, φησί, μετὰ τῆς συνήθους σαφηνείας καὶ
» καθαρότητος καὶ τὸ λαμπρὸν καὶ εὔρυθμον ἐνδείκνυται, τὸ πολύχουν τῶν νοημά-
» των καὶ τὴν τῶν παραδειγμάτων προσφυεστάτην εὐπορίαν συναποφαίνουσα . . .
» πανταχοῦ γὰρ τοῖς λόγοις αὐτοῦ τὸ καθαρὸν καὶ λαμπρὸν καὶ εὐκρινὲς μετὰ τοῦ
» ἡδέος τεχνουργῶν, τούτοις τε ἐνταῦθα μάλιστα διαπρέπει καὶ τῇ τῶν παραδειγ-
» μάτων εὐπορίᾳ καὶ τῇ τῶν ἐνθυμημάτων ἀφθονίᾳ, καὶ (εἴπερ δεῖ) καὶ δεινότη-
» τι, καὶ ἁπλῶς ἔν τε λέξει καὶ συνθήκῃ καὶ μεθόδῳ καὶ νοήμασι καὶ τῇ ὅλῃ
» κατασκευῇ ἄριστα τάσδε τὰς συγγραφὰς ὑπεστήσατο . . . . εἰ δέ τινα τῶν ῥε-

§ ι. Τῶν τριῶν δ' αὖ ὁμοίως ἐξυμνοῦσι καὶ ὑπεραίρουσι τῆς καρδίας τὸ πλάτος, καὶ τῆς σοφίας τὸ χῦμα, καὶ τὸ πάντων μὲν ἄριστα τὰ πάντα νοῆσαι, πάντων δὲ κάλλιστα περὶ πάντων εἰπεῖν. Ὃ τοίνυν εἴρηται, τὰ τοιαῦτα μὲν ὁ βουλόμενος σκοπείτω φιλοπονώτερον· ἐγὼ δὲ τοῖς εἰρημένοις ἐπιπροσθεὶς [α], ὃ πλέον τῶν ἄλλων παρ' ἐκείνοις ἔχω, παραχωρήσω τοῦ λέγειν τοῖς ἀπαριθμεῖσθαι καθ' ἕκαστα τὰ πάντα προθυμουμένοις, ὡς ἂν μὴ τὸ παραδεδομένον ἡμῖν ὑπ' ἐκείνων μέτρον τοῦ λόγου διὰ τὴν καλὴν περὶ τὸν ἔπαινον αὐτῶν ἀπληστίαν λυμήνωμαι. Τί δὲ τὸ καθ' ὑπεροχὴν ἐμοὶ θαυμαζόμενον ; ἡ τῶν ἀνθρωπίνων ψυχῶν κηδεμονία καὶ πρόνοια· καθ' ὃ καὶ μᾶλλον φαμὲν τὴν πρὸς τὸ θεῖον ὁμοίωσιν τούτους [β] ἐξηκριβῶσθαι. Τὸ μὲν γὰρ ἕκαστον σῶσαι τὴν ἰδίαν ψυχὴν, καὶ τὸν βίον ἀσφαλῶς παρελθεῖν μετὰ τῶν ἀνθράκων καὶ τῶν παγίδων, ὧν ἐν μέσῳ στρεφόμεθα, οὔπω τι σεμνὸν οὐδὲ μέγα· ἀλλὰ πλείστοις μὲν κατορθούμενον, ἀναγκαίως δὲ πᾶσι χριστιανοῖς ὀφειλόμενον· τὸ δὲ καὶ τὸ τῶν ἄλλων ζητεῖν, καὶ σπουδάζειν [γ] κερδῆσαι τὴν τῶν πέλας ὠφέλειαν, τοῦτο ἔργον ψυχῆς θεοειδοῦς καὶ μεγάλης, καὶ Χριστὸν, ὡς ἐφικτὸν, μιμουμένης, τὸν λύτρον ἑαυτὸν καὶ ἀντάλλαγμα ὑπὲρ τῆς τοῦ κόσμου παρασχόντα ζωῆς [δ] καὶ σωτηρίας· πῶς μὲν οὖν [ε] περὶ τοῦτο τὰ τῶν Πατέρων ἔχει καὶ διδασκάλων, σκοπήσωμεν.

ιά. Σκοπήσωμεν [ζ] δὲ οὕτως· ὑπέστη Θεῷ τὸ πᾶν τόδε, διὰ

» τῶν ἢ ἑρμηνείας ἢ βαθυτέρας θεωρίας δεόμενα οὐκ ἐπιμελῶς ἐπεξῆλθεν, οὐ δεῖ » θαυμάζειν· ὅσα γὰρ ἡ τῶν ἀκροατῶν ἐχώρει δύναμις καὶ εἰς τὴν ἐκείνων συνέ» τεινε σωτηρίαν καὶ ὠφέλειαν, οὐδὲν οὐδαμοῦ παρῆκε· διό μοι καὶ ἀεὶ θαυμάζειν » ἔπεισι τὸν τρισμακάριστον ἄνθρωπον ἐκεῖνον, ὅτι ἀεὶ καὶ ἐν πᾶσιν αὐτοῦ τοῖς » λόγοις τοῦτο σκοπὸν ἐποιεῖτο, τὴν ὠφέλειαν τῶν ἀκροατῶν, τῶν δ' ἄλλων ἢ οὐ» δόλως ἐφρόντιζεν, ἢ ὡς ἐλάχιστον· ἀλλὰ καὶ τοῦ δόξαι λαθεῖν αὐτὸν ἔνια τῶν » νοημάτων, καὶ τοῦ πρὸς τὰ βαθύτερα μὴ πειρᾶσθαι παρεισδύνειν, καὶ εἴ τι τοι» οῦτον, ὑπὲρ τῆς τῶν ἀκροωμένων ὠφελείας παντάπασιν ὠλιγώρει (Κωδ. 174. παράβαλ. καὶ Κωδ. 86).

[α] Τὸ ΒΠ. «ἔτι προσθεὶς». —[β] τὸ ΒΠ. «τούτοις».

[γ] Τὸ ΒΠ. «σπουδάσαι». — [δ] Προσετέθη τὸ «ζωῆς» ἐκ τοῦ ΒΠ. ὅθεν ὅμως ἐλλείπει τὸ «σωτηρίας». — [ε] Ἐλλείπει ὁ «μὲν» ἐκ τοῦ ΒΠ. — [ζ] Τὸ ΒΠ· «σκοπῶμεν».

SISMANOGLIO MEGARO



τὸν εἰκόνι τιμηθέντα Θεοῦ· ἐσαφηνίσθη δὲ παρὰ τούτων ἡ φύσις ἑκάστου τῶν παραχθέντων ἐπὶ φωτισμῷ τῆς εἰκόνος, καὶ τῇ διὰ τῶν κτισμάτων ἐπιγνώσει τοῦ κτίσαντος [α]· « οὐρανοὶ μὲν γὰρ [β] διηγοῦνται δόξαν Θεοῦ » (γ), μετὰ κάλλους τοσούτου καὶ μεγέθους ὁρώμενοι· οἱ δὲ καὶ τοὺς οὐρανοὺς καὶ τὴν γῆν καὶ τὸν ὁρώμενον κόσμον καὶ τὸν ἀόρατον τρανῶς ἐξηγοῦνται, ὅπως ἕκαστον ἔχει θέσεώς τε καὶ τάξεως, καὶ ὅπως δυνάμεως, περὶ τί τε χρησιμεύει τῇ τῶν ἀνθρώπων ζωῇ καὶ τίς ὁ λόγος τῆς τούτων [δ] δημιουργίας· ὡς οὐχ ἧττον αὐτοῖς ἢ ἐκείνοις ἁρμόζειν τὸ ψαλμικὸν, « εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν » (ε), ὃ καὶ περὶ τῶν Ἀποστόλων ὁ Ἀπόστολος ἐξεδέξατο (ς). Διέθετο τοῖς δούλοις αὐτοῦ διαθήκας Παλαιάν τε καὶ Νέαν ὁ τῶν ἀμφοτέρων Θεὸς, ἵνα εὖ ἡμῖν γένηται, ἐὰν ἀκοῇ ἀκούσωμεν, καὶ τοῖς προστάγμασιν αὐτοῦ πορευθῶμεν· οἱ δὲ τὰς θεϊκὰς ἐντολὰς μετ' εὐγνωμοσύνης ὅσης ἐδέξαντο· καὶ τοῦτο μὲν, περὶ τὴν αὐτῶν ἐργασίαν φιλοπόνως πονήσαντες, ὡς ἄλλος οὐδεὶς περὶ οὐδὲν ἕτερον· τοῦτο δὲ, μελετήσαντες ἐπιμελῶς ἐν αὐταῖς ὑπὲρ ἀνθρώπινον ἅπασαν φύσιν ἡμέρας τε καὶ νυκτός· πρῶτα μὲν, μεσιτεύουσιν ἀμφοτέραις ταῖς Διαθήκαις, καὶ συμβιβάζουσιν ἄριστα τὸ γράμμα τῷ πνεύματι, καὶ πρὸς συμφωνίαν συνάγουσι τὴν χάριν τῷ νόμῳ, τὸ μεσότειχον τοῦ φραγμοῦ καθελόντες, καὶ τοῦ μὲν περιελόντες τὸ κάλυμμα, τῆς δὲ τῇ λαμπρότητι τὴν νομικὴν σκιὰν περιλάμψαντες, καλῶς τε τοῖς τύποις τὴν ἀλήθειαν ἐφαρμόσαντες, καὶ οὕτως ἀναπλήρωσιν δείξαντες ταύτην ἐκείνης, ἀλλ' οὐ κατάλυσιν. Εἶτα καὶ πρὸς τὴν κατ' αὐτὰς ζωήν τε καὶ πολιτείαν τὸν ἡμέτερον βίον ὁδηγοῦσι καὶ κατευθύνουσι, τά τε ἤθη κοσμοῦντες, καὶ τοὺς τρόπους ῥυθμίζοντες, καὶ παντοίως ἡμᾶς χειραγωγοῦντες ἐπὶ τὰ κρείττονα.

§ ιβ'. Τί ἔτι ; Σαρκοῦται Θεὸς δι' ἡμᾶς· οἱ δὲ τὸ τῆς οἰκονομίας μυστήριον, τίνα τε τρόπον, καὶ κατὰ τίνα λόγον ἐπραγμα-

[α] Ἐλλείπει ὁ «καὶ» ἐκ τοῦ ΒΠ. — [β] Προσετέθη ὁ «γὰρ» ἐκ τοῦ ΒΠ.
(γ) Ψαλμ. ιή. 1. —[δ] Τὸ ΒΠ· «τούτου». —(ε) Ψαλμ. ιή. 5.
(ς) Ῥωμ. ί. 18.

τεύθη γνωρίζουσι· καὶ ὅτι τοῦτο κεφάλαιον τῆς μεγάλης ἐκείνης καὶ ἀποῤῥήτου κενώσεως, ἡ τοῦ σύμπαντος πλάσματος πρὸς τὸν πρῶτον Ἀδὰμ διὰ τοῦ δευτέρου ἐπάνοδος. Ἀποστόλους ἐκπέμπει; συναποστέλλονται· Προφήτας; συμπροφητεύουσιν· Εὐαγγελιστάς; συνευαγγελίζονται· μᾶλλον δὲ, εἰ χρή τι καὶ προσφιλοτιμήσασθαι, καὶ τὸ ἐκείνων Εὐαγγέλιον αὐτοὶ σαφηνίζουσι· χαρίσματα διανέμει; μηδὲ γὰρ τοῦτο παροπτέον μεταξὺ κείμενον· καὶ τί τῶν χαρισμάτων ἐν τούτοις οὐκ ἐθαυμάστωσε; δοξάζει διὰ θαυμάτων; κἀνταῦθα μοῖρα καὶ τούτοις οὐκ ἐλαχίστη, ὡς ἔστι γνῶναι σαφῶς ἐκ πολλῶν ὅτι μάλιστα τῶν ταῦτα διηγουμένων· ἔστι γὰρ οὐδεὶς, ὡς εἰπεῖν, τῶν καὶ βραχύ τι λόγου μετειληφότων, ὃς οὐ μάλιστα πάντων τὰ κατ᾽ αὐτοὺς ἐξυμνεῖ· μαθητεύει δι᾽ ἐκείνων πάντα τὰ ἔθνη; διὰ τούτων [α] δὲ τί; καὶ τίνα τοῖς λόγοις οὐκ ἄγουσιν οἱ σοφώτεροι [β]; οὐ γεωμετρικαῖς ἀνάγκαις τοσοῦτον, ὃ δή φασιν, ὅσον φυσικαῖς καταπείθοντες· μᾶλλον δὲ καὶ ἀμφότερα μεθ᾽ ὑπερβολῆς θαυμαστῆς, τῇ τε [γ] τῶν πραγμάτων φωνῇ, τῇ τε τῆς τέχνης πειθοῖ τὸν ἀκροατὴν ἑκατέρωθεν ἀφύκτως [δ] χειρούμενοι.

§ ιγʹ. Τοῖς μὲν γὰρ αὐτόπταις τοῦ Λόγου καὶ ὑπηρέταις ἐβεβαίου τὸν λόγον γένη γλωσσῶν, ἰαμάτων χαρίσματα, διακρίσεις πνευμάτων, μετὰ τῶν ἄλλων σημείων τῶν ἐπακολουθούντων αὐτοῖς· τοῖς δὲ, μηδ᾽ ἐν [ε] ἐκείνοις πλεῖστον ἀπολειφθεῖσι, τὸ πᾶν κράτος ἦν περὶ τὴν χάριν τοῦ λόγου καὶ τὴν τῆς διαλέξεως δύναμιν, ὅση τε πνευματικὴ καὶ θεόπνευστος, καὶ ὅση τῆς εὐεπείας καὶ τῆς περὶ τὴν φράσιν σεμνότητος, ὡς αὐτὸς φαίην ἄν· οὐκ ἀλόγως δ᾽ ἂν οἶμαι καὶ κομψότητος, εἴποι τις, οὐ τῆς σοφιστικῆς καὶ φλυάρου, ἀλλὰ τῆς εὐτέχνου καὶ γλαφυρᾶς· προσελήφθη γὰρ ἤδη καὶ τοῦτο παρὰ τῆς χάριτος, ἵνα τὸ λείπειν ἔτι δοκοῦν ἀναπληρωθῇ τῷ κηρύγματι, καὶ μὴ διὰ παντὸς ὀνειδίζοιτο παρὰ τοῖς φρονοῦσιν ἐκ γῆς τὸ ἰδιωτικὸν καὶ ἀγράμματον· « Ἐπεὶ γὰρ ὁ κόσμος οὐκ ἔγνω τὸν Θεὸν διὰ τῆς σοφίας, ὅ φησι Παῦλος, εὐδόκησεν ὁ Θεὸς

[α] Τὸ ΒΠ διὰ «τούτων». — [β] Τὸ ΒΠ. «σοφώτατοι». — [γ] τὸ ΒΠ. «καὶ τῇ». — [δ] ΒΠ. «ἀφύκτως». — [ε] Τὸ Χ. «μηδὲν ἐκείνοις».

SISMANOGLIO MEGARO



διὰ τῆς μωρίας τοῦ κηρύγματος, σῶσαι τοὺς πιστεύοντας (α)· ὅθεν ἡ πρώτη τῶν ἰδιωτῶν ἐκλογὴ καὶ ἀποστολή· ἀλλ᾽ αὐτίκα μοι βλέπε τὴν καλὴν παρὰ πόδας ἀντιστροφήν. Ἐπεὶ γὰρ πάλιν ὁ κόσμος οὐκ ἐπέγνω τὸν Θεὸν διὰ τῆς μωρίας, ὡς ἔδει, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς ἐν τούτοις σοφίας σῶσαι τοὺς πιστεύοντας· καὶ μέντοι πολλοὺς, καὶ μικροῦ δέω πάντας εἰπεῖν τοὺς ἐξ ἐκείνου τοῦ χρόνου ἤδη τε σέσωκε, καὶ εἰσέτι σώζων οὐκ ἐπιλείπει τοῖς σοφοῖς αὐτῶν δόγμασι καὶ διδάγμασι· τοὺς μὲν τῇ φυσικῇ καὶ γνησίᾳ τῶν νοημάτων ὥρᾳ προσαγομένη [β], τοὺς δὲ τῷ ποικίλῳ τε καὶ παγκάλῳ τῶν ῥημάτων ἀγλαϊσμῷ· « φέρει γάρ που καὶ ταῦτα κόσμον τινὰ τοῖς ὑποκειμένοις καρποῖς, καὶ ὄψιν οὐκ ἄωρον », ὡς ἂν μηδ᾽ ἐνταῦθα τούτων ἐκστῶ, « καθάπερ φύλλα τοῖς κλάδοις ἐπισειόμενα » (γ).

§ ιδʹ. Εἶτα ποῦ σοι τὸ φύσημα, σοφὲ κατὰ σάρκα, ὁ τὰς λογικὰς ἡμῖν τέχνας καὶ τὰς ἐπιστήμας αὐχῶν μετὰ τῆς ὀφρύος καὶ τοῦ φρυάγματος· ὁ τὴν Ποιητῶν μεγαληγορίαν ἐπικομπάζων ἡμῖν μετὰ τῶν αἰσχίστων θεῶν, καὶ τῶν ἀκοῆς σωφρονούσης ἀναξίων διηγημάτων· ὁ τὴν ἐν λόγοις δεινότητα μονονοὺ προσκυνῶν, καὶ τῇ περιττῇ ταύτῃ θύων κομψότητι καὶ τερατείᾳ, ἧς τὸ τέλος ἀπάτη τὴν ἀκοὴν γοητεύουσα, καὶ τῷ κεχρωσμένῳ τῆς λέξεως τὸ δυσειδές τε καὶ ἄτοπον ἐπικοσμοῦσα τῶν λεγομένων; ὁρᾷς ἐμμελῆ καὶ συναρμόνιον σύγκρασιν, τοῦ τε νοῦ πρὸς τὸν λόγον, καὶ τῶν ῥημάτων αὖ πρὸς τὰ πράγματα; ὁρᾷς ἀκολουθίαν ἀρίστην καὶ κάλλος κάλλει συντρέχον, καὶ ἀντιστίλβον εὖ μάλα τῷ κρυπτομένῳ τε τὸ φαινόμενον, καὶ τῷ νοουμένῳ [δ] τὸ ἀπηχούμενον; ὁρᾷς τοὺς φιλοσόφους ἅμα καὶ ῥήτορας, εἰ δὲ βούλει, καὶ Ποιητὰς χωρὶς τῶν ψευσμάτων καὶ τῶν πλασμάτων [ε], ὁπόσον ἤδη τῶν σῶν περὶ τὰ σὰ διαφέρουσι, καὶ ὡς κανόνες εἰσί τινες τοῖς μαθήμασι πᾶσιν ἀπηκριβωμένοι καὶ ἄπταιστοι; Ἐπὶ τίνι τοίνυν ἔτι κομπάσεις [ζ], ὡς ἐπὶ ἰδιάζοντί σου πλεονεκτήμα-

(α) Α΄ Κορινθ. γʹ. 21. — [β] Τὸ ΒΠ. «προσαγομένους». — (γ) Μ. Βασιλ. πρὸς τοὺς Νέους. § 2. — [δ] Ὁ «καὶ» ἐλλείπει ἐκ τοῦ Χ. — [ε] Τὸ «τῶν» ἐλλείπει ἐκ τοῦ Χ. — [ζ] Τὸ Χ. «κομπάζεις».

τι; Ἰδοὺ γάρ, ὦ μέγα ἐφρόνεις κατὰ τῶν ἁλιέων ἡμῶν, καὶ σκυτέων, καὶ ἀμαθῶν, οὐκέτι σόν, ἀλλ' ἡμέτερον· καὶ τό γε νεανικώτερον, οὐκ ἐν τοῖς ἄλλοις μόνον ἡμῖν ἐστιν ἡ ἐγκύκλιος παίδευσις [α] ὅπλον ἀσφαλὲς καὶ σωτήριον, ἀλλὰ καὶ καθ' ὑμῶν αὐτῶν ἤδη, τῶν πάλαι δι' αὐτῆς πολεμούντων ἡμῖν ἀλόγως, δεξιὸν ἀμυντήριον, δηλονότι τῷ ῥήματι τοῦ Θεοῦ στομωθεῖσα, ὃ τομώτερον οἶδεν ὁ λόγος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον (β). Ὅσος γοῦν ὁ κλόνος ὑμῶν ὑπὸ τούτων ἄρδην συστρεφομένων· ὅσος ὁ φόνος, διὰ τοῦδε τοῦ ξίφους, οὐ δι' ἑτέρου· διὰ τοῦ δε φημί, τοῦ χθὲς ἔτι που καὶ πρὶν [γ] ὑμετέρου, ὦ πάλαι μὲν Δαβὶδ ὁ ἐμός, μετὰ ταῦτα δέ τις τῶν σῶν νεανιεύσασθαι λέγονται, τοὺς πολεμίους ἑκάτερος τοῖς ἐκείνων ὅπλοις ἀνῃρηκώς. Τοιγαροῦν σύνετε, παιδεύθητε πάντες οἱ τοὺς μύθους θαυμάζοντες, εἴ τι περ ὑμῶν ἔτι λείψανον, ὅπως μὲν ἄνδρες ἄλκιμοί τε καὶ μάχιμοι, ὅπως δὲ παῖδες ἀγενεῖς καὶ ἀνάλκιδες μεταχειρίζονται τὰ πολέμια, καὶ τίνα μὲν λεόντων ὁρμήματα, τίνα δὲ πιθήκων κινήματα· τὰ γὰρ τῶν ἐμῶν πάλιν φθέγξομαι. Πρόσθες [δ] οὖν, εἰ δοκεῖ, τοῖς ἐμοῖς προμάχοις καὶ ἀριστεῦσιν ὁ ἐμοὶ πρὸ τοῦ πολεμῶν, καὶ δεῦρό μοι, δύστηνε σὺ καὶ κακόδαιμον, ἵνα προσείπω σε κατὰ σέ, παρ' ἐμοὶ ἵστασο καὶ [ε] ἴδε ἔργον· «Βάλλ' οὕτως» (ζ) ὡς ὁρᾷς, εἴγε δύναιο· εἰδ' οὖν, ἀλλ' ὁμολόγει τὴν ἧτταν, καὶ ὑποχώρει τοῖς κρείττοσι, πρίν τι κακὸν παθεῖν καὶ τοῖς λοιποῖς Ἑλληνισταῖς ὅμοιον, ὅσοι τούτοις προσέβαλον ἐπὶ κακῷ τῷ σφετέρῳ· δεινὸν γάρ, δεινὸν εἰς συμπλοκὴν ἔριδος τηλικούτοις ἥρωσιν ἀντιφέρεσθαι· ἀλλ' οἱ μὲν τὴν ψευδώνυμον γνῶσιν μεγαλαυχοῦντες ἡμῖν ἐκποδών, ἓν τοῦτο δράσαντες μόνον, μᾶλλον δὲ παθόντες σοφὸν παρὰ τῆς ὄντως Σοφίας, ἧς κατόρθωμα μέγιστον ἡ τῆς ἐκείνων πλάνης κατάλυσις· τοὺς δὲ τοσοῦτον ἡ χάρις διὰ πάντων κοσμήσασα· πάλιν γὰρ ὁ λόγος εἰς τούτους ἐπανελθὼν ἑαυτὸν ἐν αὐτοῖς [η] ἡδέως ἐπανα-

[α] τὸ «παίδευσις» ἐλλείπει ἐκ τοῦ ΒΠ. — (β) Ἑβρ. Δ' 21. — (γ) ἴσως γρ. «πρώην».
[δ] ΒΠ. «πρόσχες». — [ε] Τὸ Χ. ἔναλμα «ἀπαρχαϊσταί» — (ζ) Χαριέντως ἐκ τοῦ Ὁμήρου Ἰλ. Θ. στιχ. 282 « Βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι».
[η] Ἐλλείπει ἡ αὐτὸν ἐκ τοῦ ΒΠ.

SISMANOGLIO MEGARO



παύσει· καὶ τὴν γνῶσιν τῶν θείων καὶ ἀνθρωπίνων μυήσασα, καὶ παντοίως αὐτοὺς χαριτώσασα καὶ λαμπρύνασα, οὕτως εἰς τὴν τοῦ κοινοῦ προστασίαν, καὶ τὴν τῶν ἁγίων Ἐκκλησιῶν οἰκονομίαν προβάλλεται, « ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ὁμοίως Ἑλληνίς τε καὶ βάρβαρος ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρὸς » (α), ὑπὸ διδασκάλοις οὕτω τελείοις καὶ πανταχόθεν τὸ πλῆρες καὶ ἄρτιον [β] ἔχουσι πρὸς ἀπαρτισμὸν ἀγομένη καὶ τελειότητα [γ], κἀντεῦθεν τὸ τέως διεσπασμένον σῶμα Χριστοῦ τὴν ἀρτιότητα λάβῃ, « καὶ γένηται μία ποίμνη, εἷς ποιμὴν » (δ), γινώσκων τὰ ἴδια καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων, καὶ καλῶν τούτων ἕκαστον προσφόρως κατ' ὄνομα, ὡς οὐδεμιᾶς ἔτι ξένης νομιζομένης φωνῆς, ἀλλὰ πάσης ἤδη συνήθους τῷ παντὶ ποιμνίῳ γεγενημένης· ὅπερ οὖν καὶ κατώρθωται διὰ τὴν τοῦ καλοῦ καὶ πρώτου Ποιμένος φιλανθρωπίαν, καὶ τὴν τῶν ἐκείνου πρὸς δύναμιν ζηλωτῶν προθυμίαν· ὃς καὶ νῦν οὐδὲν ἧττον τοὺς ἀξίους τῆς κλήσεως πρὸς τὴν ἄνω μάνδραν καλεῖ, ταῖς μεγάλαις τούτων φωναῖς οἷα σύριγξι χρώμενος, καὶ τὴν ἐν τόπῳ χλόης τρυφὴν καὶ τὸ ζῶν τῆς ἀναπαύσεως ὕδωρ ὑπισχνεῖται καὶ δίδωσιν, ἐκπληρῶν εὐμαρῶς τὸ αὐτοῦ θεῖον θέλημα, διὰ τῆς δεξιᾶς ὑπουργίας καὶ συνεργείας τῶν γνησίων αὐτοῦ [ε] τῶν δε θεραπευτῶν, ἣν εἰς τὴν ἡμῶν σωτηρίαν συνεργοῦντες αὐτῷ καὶ συντελοῦντες ἔτι διατελοῦσι, καὶ οὐ πρὶν εὖ οἶδ' ὅτι τοῦτο πράττοντες λήξουσι, πρὶν ἐκλείψει τὸ πᾶν.

§ ιέ. Τοιούτους ἡμῖν τοὺς ἁγίους τούτους ὁ τῶν ἁγίων Θεὸς ἐχαρίσατο, ὁ ἐνδοξαζόμενος οὕτως ἐν τοῖς ἁγίοις αὐτοῦ· τοῦτο τὸ ἔργον, τοῦτο τὸ κέρδος τῆς εἰς τὴν παροῦσαν ζωὴν τῶν Μεγάλων ἐπιδημίας· οὕτως ὁ βίος ἀπώνατο τῆς αὐτῶν παρουσίας· οὕτω πρὸς τὸν ἄνω κόσμον αὐτοὺς καὶ τὴν ἐκεῖ χαρὰν [ζ] τῶν δικαίων παρέπεμψε, τοσοῦτον ἀρετῶν δορυφορουμένους φαιδρότησι [η], τηλι-

(α) Φιλιππ. Β' 11. — [β] Τὸ ΒΠ. «τὸ ἄρτιον». — [γ] τὸ Χ. «ἀναγομένη».
(δ) Ἰωάν. ι'. 17. 19. [ε] Τὸ «αὐτοῦ» ἐλλείπει ἐκ τοῦ ΒΠ· [ζ] Τὸ Χ. «χώραν»
[η] Τὸ ΒΠ. «τοσούτων ἀρετῶν φαιδρότητι».

καύταις χάρισι λάμποντας· Τούτους ἔχομεν, ἄνθρωποι, μετὰ τὸν Σωτῆρα σωτῆρας, μετὰ τὸν Πλάστην δημιουργούς, μετὰ Θεὸν εὐεργέτας καὶ φύλακας τῶν ἡμετέρων ψυχῶν· οὗτοι τῆς ἡμῶν πίστεως οἱ συνεκτικώτατοι στῦλοι καὶ τὰ μεγάλα ἐρείσματα, ἐν οἷς ἡ Σοφία τὸν ἑαυτῆς οἶκον ἥδρασε, καὶ πύλας ᾅδου μηδέποτε κατισχύσειν [α] αὐτῆς ἀπεφήνατο· Οὗτοι μετὰ τοὺς ἱεροὺς Πατέρας ἡμῶν οἱ ὑπὲρ πάντας ἐκείνους· φίλη γὰρ οὐχ ἧττον κἀμοὶ ἡ ἐκείνων ἀλήθεια· μετὰ τοὺς σεπτοὺς Ἀποστόλους οἱ τῆς οἰκουμένης διδάσκαλοι. Τούτοις ἡμεῖς πανηγυρίζομεν σήμερον· καὶ μέντοι πανηγυρίσωμεν, ἀλλ᾽ ὡς τούτοις δοκεῖ· δοκεῖ δέ, ἢ λέγοντάς τι τῶν δεόντων, ἢ πράττοντας· οὕτω γὰρ αὐτοὶ μάλιστα τὸ πνευματικῶς ἑορτάζειν ὁρίζονται (ϐ). Τὸ μὲν οὖν δέον ἐν λόγοις, ἐφ᾽ ὅσον ἐνῆν, τοῖς ἁγίοις παρ᾽ ἡμῶν ἀφωσίωται· ἀπέχουσι γὰρ ἤδη τὴν εὐφημίαν· εἰδ᾽ ἐπὶ τοσοῦτον ἐνδεᾶ τῆς ἀξίας, καὶ οὕτως ἀγαπητόν· ἐπεὶ κἀκείνοις φίλον, εὖ οἶδ᾽, ὥσπερ καὶ Θεῷ κατ᾽ ἐκείνους (γ), τὸ κατὰ δύναμιν· δεῖ δὲ τῆς ἐκ τῶν ἔργων ἔτι τιμῆς, εἰ μὴ χαλκὸς αὐτοῖς ἠχῶν λογισθῆναι βουλόμεθα· λόγος γὰρ καὶ οὗτος ἐκείνων, ὡς οὐδεὶς αὐτοῖς λόγος τῶν παρ᾽ ἡμῖν ἐπαίνων καὶ κρότων, ἀλλὰ τῆς τῶν ἡμετέρων ψυχῶν ὠφελείας καὶ διορθώσεως· ὥστε μέγα μὲν ὁ λόγος αὐτοῖς καρποφόρημα· καὶ τί γὰρ ἄλλο τοιοῦτον; ἀλλὰ σὺν λόγῳ λεγόμενος· σὺν λόγῳ δ᾽ ἂν λέγοιτο, καὶ τὴν πρᾶξιν συνεπαγόμενος· ταύτης δὲ μονωθείς, οὐχ ὅπως ἐκείνοις τοῖς ἀπροσίτοις τὴν ἀρετὴν καὶ ἀδεκάστοις τὴν κρίσιν τοῦ καλοῦ καὶ τοῦ χείρονος, ἀλλ᾽ οὐδ᾽ ἄλλῳ γέ τινι τῶν μετρίων [δ] καὶ ἧττον φιλαρέτων καὶ φιλοθέων εὐαπόδεκτον δόξει τὸ χρῆμα καὶ περισπούδαστον. Εἴ τι τοίνυν ἐκείνοις χαρίσασθαι προθυμούμεθα, πάντως δὲ προθυμούμεθα [ε], ἑαυτοὺς εὖ ποιήσωμεν· ποιήσομεν δέ, τοῖς ἐκείνων λόγοις ἑπόμενοι· ὁ γὰρ βίος σαφῶς ὑψηλότερος ἢ κατὰ τὴν παρ᾽ ἡμῶν μίμησιν· καὶ τούτοις ἐντρυ-

[α] Τὸ ΒΠ. «κατισχύειν». (ϐ) «Ἑορτάζομεν καὶ ἡμεῖς, ἀλλ᾽ ὡς δοκεῖ τῷ πνεύματι· δοκεῖ δὲ ἢ λέγοντάς τι τῶν δεόντων, ἢ πράττοντας· καὶ τοῦτό ἐστι τὸ ἑορτάζειν ἡμῶν» (Γρηγ. Ναζ. λογ. μά. εἰς τὴν Πεντηκοστὴν § 1). (γ) Γρηγ. Ναζ. ἐπιτάφιος εἰς τὸν Μ. Βασ. § πϐ΄. [δ] ὁ «γε» ἐλλείπει ἐκ τοῦ Χ. [ε] Τὸ ΒΠ. «προθυμούμεθα»

SISMANOGLIO MEGARO



φῶντες ἐς ἀεὶ [α], καὶ πᾶσαν πρᾶξιν καὶ λόγον καὶ κίνημα, καὶ νεῦμα, καὶ διανόημα ὑπ᾽ ἐκείνων καλῶς ῥυθμιζόμενοι καὶ τυπούμενοι, οὕτω πρὸς ἀξίαν αὐτοὺς θεραπεύσομεν· οὕτω προσηκόντως πανηγυρίσομεν· οὕτω χαίρουσιν οὗτοι παρ᾽ ἡμῶν δοξαζόμενοι.

§ ιϛ΄. Ἀλλ᾽ ὦ τοῦ σύμπαντος κόσμου Φωστῆρες θεολαμπεῖς τῶν τοῦ στερεώματος τούτου κατὰ πολὺ τιμιώτεροι, ὅσον οἱ μὲν τὰς σωματικὰς ἡμῖν ὄψεις, ὑμεῖς δὲ τὰς ψυχικὰς περιλάμπετε· ὦ μακαρία καὶ δευτέρα Τριάς, τὸ τῆς πρώτης καὶ μεγάλης Τριάδος ἀπεικόνισμα καὶ ἀπαύγασμα, ἡ καὶ παρ᾽ αὐτῆς δοξασθεῖσα, καὶ αὐτὴν αὖθις [ϐ] ἀντιδοξάσασα· Τριὰς Ἁγίων ἁγία, μεγαλώνυμοί τε καὶ μεγαλόδοξοι· οἱ καὶ ἡμῖν τὴν καλλίστην ταύτην ἐπίνοιαν ὡς κατὰ γνώμην ὑμῖν ἐπὶ νοῦν τε πρότερον ἀγαγόντες, καὶ θαυμασταῖς ἐμφανείαις βεβαιώσαντες ὕστερον (γ)· οὐχ ἵνα αὐτοί τι πλέον [δ] ἐντεῦθεν εἰς τιμὴν ἀπενέγκοισθε· πῶς γάρ; ὧν τὸ θαῦμα τῆς δόξης τὸ ὑπὲρ πλῆρες ἐν πᾶσιν ἔχει καὶ τὸ ἀκρότατον [ε], ἀλλ᾽ ἵνα κἂν τούτῳ μᾶλλον [ζ] τιμήσητε τὴν μαθητείαν ὑμῶν, καὶ τὸν μαθητευθῆναι ταύτην ἠξιωμένον, ὃς οὔτε μεῖζον, οὔτε βέλτιον ταύτης ἀπωνάμην τοῦδε τοῦ βίου· ὦ ποιμένων ποιμένες [η], καὶ διδασκάλων διδάσκαλοι, μεμνήμεθα μέν σου τῶν ὑπὲρ τοῦ καλοῦ λιθασμῶν, ὡς ἐπέταξας (θ), ἡμεῖς τὰ τέκνα σου [ι], καὶ σοῦ τῶν μεγίστων ὑπὲρ εὐσεβείας ἀγώνων [ια], καὶ σοῦ τῆς ἀδίκου διὰ δικαιοσύνην ὑπερορίας, τοῦ καινοῦ μαρτυρίου, τῆς ἀναιμάκτου ἀθλήσεως· μεμνήμεθα τῶν ἄλλων καμάτων καὶ πόνων, οὓς πολλοὺς καὶ μεγάλους ὑπὲρ τῆς Ἐκκλησίας ἀνέτλητε Ἀνατολῇ καὶ Δύσει μαχόμενοι· ὑμῶν γὰρ καὶ τοῦτο, ἵνα τὰ πέρατα εἰρηνεύσητε· ἔχομεν δὲ καὶ τὰ πυξία τὰ ἅγια, τὰς πλάκας

[α] Τὸ ΒΠ. «ἀεί». — [ϐ] Ἐλλείπει τὸ «αὖθις» ἐκ τοῦ ΒΠ. — (γ) Βλ. Συναξαρ. λ΄. Ἰανουαρ. παραϐ. καὶ ὄπισθ. προλεγ. σελ. ιά. — [δ] Ἐλλείπει τὸ «τι» ἐκ τοῦ Χ. — [ε] Οὕτως ἐκ τοῦ ΒΠ. τὸ δὲ Χ, μετὰ τὸ «ἀπενέγκοισθε» φέρει μόνον «πᾶσιν ἔχοντες τὸ ἀκρότατον». — [ζ] Τὸ «μᾶλλον» ἐλλείπει ἐκ τοῦ Χ. — [η] Τὸ ΒΠ. ἀντιστρόφως «Ποιμένες ποιμένων». — (θ) Γρηγ. Ναζ. λογ. μϐ΄. § κζ΄. ἐπιστολ. ηέ. Λεοντίῳ. — (ι) Τὸ ΒΠ. «ἐπέταξας ἡμᾶς». — (ια) Τὸ ΒΠ. «κινδύνων»

πὰς θεογράφους, τὴν Διαθήκην τὴν τρίτην, ἣν ἡμῖν ὁ Θεὸς διὰ τῶν ὑμετέρων ἐνθέων γλωσσῶν ἐξεφώνησε, τὸν τοῦ νοῦ φωτισμὸν, τῶν ἁγιασμὸν τῶν ψυχῶν, τὴν τῶν ὀμμάτων τρυφὴν, τὸ μέγα καὶ ἄμαχον τῶν ἀνθρωπίνων ἀκοῶν θέλγητρον, τὴν κοινὴν ἁπάσης αἰσθήσεως ἡδονὴν καὶ ἀπόλαυσιν, ἔνθα κόρῳ τόπος οὐδείς· τὸν εὐδαίμονα κλῆρον καὶ πολύτιμον ὄλβον, ὃν ἡμεῖς ἐξ ὑμῶν τῶν ἡμετέρων πατέρων διαδεξάμενοι σώζομεν, καὶ ὃν τοῖς μεθ' ἡμᾶς παραπέμψομεν· «τοῦτο ἡμῖν νόμιμον αἰώνιον, μνημόσυνον γενεαῖς γενεῶν» (α), ἀθάνατον φυλάττον τὴν ὑμετέραν δόξαν τῷ βίῳ· μέμνησθε δέ μοι καὶ αὐτοὶ τοῦ ποιμνίου, ὃ τοῖς ὑμετέροις λόγοις καὶ κόποις, καὶ πειρασμοῖς κατηρτίσασθε, ἐξ ἀφανοῦς καὶ φαύλης ἀγέλης ὀνομαστὸν καὶ περίβλεπτον, ὡς ἡ προαγόρευσις ὑμῶν, ἀποδείξαντες (β)· καὶ ταῖς ἐκκλησίαις μὲν τὴν εἰρήνην, ἣν αὐταῖς ἀπελθοῦσαν ἀνασωσάμενοι κατελίπετε, συντηρεῖτε μέχρι παντὸς ἀνεπηρέαστον καὶ ἀκύμαντον· ἡμῖν δὲ βραβεύοιτε τὴν τῶν ἐλπίδων ἐπιτυχίαν, ἐντεῦθεν μὲν ταῖς χρησταῖς ὑποθήκαις ἀπανιστῶντες, αὐτόθεν δὲ χεῖρα ταῖς πρεσβείαις ὀρέγοντες, καὶ πρὸς ἑαυτοὺς εὐχερέστερον πᾶσιν ἕλκοντες τρόποις· ἵνα καὶ αὐτοὶ δι' ὑμᾶς τε καὶ σὺν ὑμῖν, ὡς ποθοῦμεν, αὐγασθῶμεν ἐγγύτερον καὶ τρανώτερον τῷ φωτὶ τῆς ἁγίας καὶ πανυμνήτου Τριάδος, ὑπὲρ ἧς [γ] πᾶς λόγος ἡμῖν, καὶ πᾶν ἔργον καὶ σπούδασμα· ὅτι αὐτῇ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **ΑΜΗΝ.**

(α) Ἐξοδ. ΙΒ'. 14.

(β) « Τοιοῦτον ποτὲ τοῦτο τὸ ποίμνιον, καὶ τοιοῦτον νῦν, οὕτως εὐεκτοῦν τε καὶ » πλατυνόμενον, εἰ δὲ μήπω τελείως, ἀλλ' εἰς τοῦτό γε ταῖς κατὰ μέρος ὁδεῦον » προσθήκαις, προφητεύω δὲ ὅτι καὶ ὁδεῦσον· τοῦτό μοι τὸ πνεῦ- » μα προλέγει τὸ ἅγιον, εἴτι προφητικὸς ἐγὼ, καὶ βλέπων τὰ ἔμπροσθεν, καὶ » ἅμα τοῖς προλαβοῦσιν ἔχω θαῤῥεῖν, καὶ λογισμῷ γινώσκειν, ὡς λόγου σύντρο- » φος· πολὺ γὰρ παραδοξότερον ἐξ ἐκείνου τοσαύτην γενέσθαι, ἢ τὴν νῦν οὖσαν » εἰς ἄκρον προελθεῖν λαμπρότητος». (Συντακτήριος § ς'.)—[γ] Τὸ ΒΙΙ. οὗπερ τῶν

SISMANOGLIO MEGARO